Ποδήνεμος· ὁ ταχὺς τοὺς πόδας ὡς ἄνεμος ταχεῖς τοὺς πόδας διώκων καὶ φθά
νων· ἢ ὁ σουρευόμενος κατὰ τὸ καλὸν τὸ δρομικὸν τῆς στολῆς
ἐκ πορφύρας καὶ βύσσου ὑφαινόμενον· πότμος· ὁ θάνατος·
ποικιλομήτης· ποικιλόβουλος· μῆτις γὰρ ἡ βουλή·
πολυθρύλητος· διαβεβοημένος· πολιοῦχος· ὁ τὴν
πόλιν σώζων καὶ φυλάττων ἢ τοὺς ἄρχοντας· πο
λύτλας· καρτερικός· τλῶ γὰρ τὸ καρτερῶ ἢ ὑπο
μένω· πόλος· ὁ οὐρανός· πῶλος δὲ ὁ ἀσέλγαρος, νέα
πολύαινος· ὁ πολλοῦ ἐπαίνου ἄξιος· αἶνος γὰρ ὁ ἔπαι
νος· πολιτικός· ἄρχος μεγαλότιμος τέχνης· πόντος
ἡ θάλασσα· κυρίως δὲ ὁ ἐν βυθῷ χώρων ἢ σου ὁ καὶ ἄξιμος
καλοῦ...

πόρος· ὁ περάσιμος τόπος καὶ διέξοδος καὶ τρίβος·
πορθμὸς· καὶ στενὴ καὶ θάλασσα τὸ πέραμα· καὶ ἡ ἐντεῦθεν κἀ-
κεῖθεν, καὶ μέσον θάλασσα· πομπαῖος· ὁ ἀπὸ τῆς
τιμῶν πρὸς τὰς ὁμιλίας πέμπων· καὶ πομπαῖος ὁ ἑρ-
μῆς, ὅτι τὰς ψυχὰς εἰς τὸν ᾅδην κατάγει καὶ παραπέ-
μπων· πολύλητος· ὁ μακαρίτης· πολυκαμπής· κατάξη-
ρος· πομαντίας· ὁ κοχλίας· ποιώδης· ποταμώδης· ἀπὸ
τοῦ πόα καὶ ποταμὴ· πολύξυλον· ξυλόκαστρον· καὶ καλ-
πολύτιμος· ὡς ὁ Φόρκυς τοῦ Φόρκυνος· ποιητής·
ὅτι ἐν μέτρῳ ἔγραψας· πόντιος· θαλάσσιος· λέγεται
δὲ καὶ ὁ πελάγιος πόντιος· ὡς ἀπὸ πόλεως ποντί-
ου γεννηθεὶς καὶ τοῦτο ὄνομα κύριον· πολυτελής·
πλούσιος· πολυδάπανος.

πζ″ Ποίησις· τὸ ὅλον καὶ τέλειον· οἷον ἡ Ἰλιὰς καὶ ἡ Ὀδύσσεια·
Ἰλιὰς δὲ ἐστιν, ἡ τῆς Τροίας ὑπόθεσις· Ἴλιον γὰρ ἡ
Τροία· Ὀδύσσεια δὲ, ἡ πλάνη τοῦ Ὀδυσσέως· ἔστι δὲ
καὶ αὐτὰ τὰ δράματα, ποίησις τοῦ ὅλου μέρους· διαιρεῖται δὲ
τριχῶς ἡ ποίησις· εἰς διηγηματικὸν· εἰς μιμη-
τικὸν, καὶ μικτόν· καὶ διηγηματικὸν ἐστὶν, ἐν ᾧ καθ-
όλου ὁ λόγος ἐκ ποιητικοῦ μόνου προσώπου λέγεται·
μιμητικὸν δὲ, αἵ τε τραγῳδίαι, καὶ κωμῳδίαι·
ποίημα δὲ ποιήσεως διαφέρει· ποίησις μὲν γάρ ἐ-
στιν ὡς εἴρηται τὸ ὅλον καὶ τέλειον· ποίημα δὲ, ἡ ῥαψῳ-
δία· εἴρηται δὲ ῥαψῳδία, ἀπὸ τοῦ δαφνίνῃ ῥάβδῳ
περιερχομένους, ᾄδειν τὰ Ὁμήρου ποιήματα· ἢ ὅ-
τι δαφνίνην ῥάβδον κρατοῦντες, ᾖδον τὰ Ὁμή-
ρου ποιήματα· ἢ ὅτι μαντικὴ ἡ δάφνη· μαν-
τικὴ δὲ ἡ ποιητική· οὐδὲ γὰρ ἔστι τέλος ποιη-
τοῦ, ἢ μὴ ἱστορῆσαι καὶ μαντεύσασθαι καὶ διηγήσασθαι.

ποιότης· φωνὴ δηλοῦσα τὴν ποιότητα ἢ τὴν φύσιν
καὶ τῆς οὐσίας· ἐὰν γὰρ εἴπω πὺξ λὰξ, τὴν ποσό-
τητος φωνῆς ἐδήλωσα· ποιότης ἐστί, καὶ ἡ ἐνούσιος
δύναμις· ὡς τοῦ ὕδατος ἡ ψυχρότης· καὶ τοῦ
πυρὸς ἡ θερμότης· καὶ τοῦ λίθου ἡ σκληρότης
ἐστὶ τῆς γῆς ἡ σκληρότης· ποιότης καὶ ἰδιότης
ἐστὶ διαφορὰ καὶ ἰδίωμα, ἓν καὶ τὸ αὐτό ἐστι· πότνια·
δέσποινα τιμητικὴ σεμνὴ σεβασμία· ποδηγία· ὁδηγία·
παιδαγωγία· πολυτέλεια· πλουσιότης· πόρτης
ἐστὶ πόρκις, ἡ δάμαλις· πόρκη καὶ πόρπη· τὸ κομ-
πίον· πόα· ἡ βοτάνη· ἡ φυτὸν πολύφορον ἀπὸ ῥί-
ζης· ποδοκάκη· τὸ ἐμβλητὸν ξύλον ὅπερ καρτι-
κῶς κλάπα λέγεται· ποηφαγία· κοσταμοφαγία· ποι-
μαντική· διδασκαλική· ποινή· ἡ τιμωρία· ποι-
κιλτική· ὑφὴ ποικίλη· πολυφασίας· πολυφωνίας·
φάσις γὰρ ἡ φωνὴ καὶ ὁ λόγος· πολυπίδακος· πολ-
λὰς πηγὰς ἐχούσης· πίδαξ γὰρ ἡ πηγή· πολυ-
κοιρανίη· ἡ πολυαρχία· κοίρανος γὰρ ὁ βασιλεύς·
πόλιος· ἡ τοιαύτης πόλεως· ἰωνικῶς· πολυσσέ-
ας· ἐπὶ πολλὰ καὶ ἔξω παρεκτείνας· πολιορκία·
πόλεως πόρθησις· λέγεται δὲ καὶ ἡ χαράκωσις· πο-
μφόλυγες· αἱ ἐκ τῶν ὀμβρουμένων ὑδάτων κυρτώσεις·
λαμβάνεται δὲ ἡ λέξις ἐπὶ τῶν διακένων ὧν ὁ παροιμ-
ιῶδης· τοῦ ποτοῦ· ἰωνικῶς· πολίτευμα· πρᾶξις·
πόσα· ἀντὶ τοῦ πολλά· ποδήνεμος· ταχεῖα· ποθή·
ἡ ἐπιζήτησις· πονηρία· ἑκούσιος κακοποιΐα·
διὸ καὶ ὁ διάβολος πονηρὸς λέγεται· πόα· ἡ βο-
τάνη· πολυϊδρία ἡ πολυπειρία· πολυκλήϊσι·
πολυκαθέδροις.

Ποικίλον· πολύτροπον· πολύχουν· πολύφορον· πολύεκτ-
τίμιον ἀγχιστ ἄξιον· πολυάνδρια· τὰ ξενοτά-
φια· πολίχνια· μικραὶ πόλεις· πολλοστημόριον·
βραχύτατον μέρος ὀλίγον· πολλοστόν· τὸ ἀκαριαῖον·
πότερον· ὁποῖον ἢ ἓν ἐκ τούτων· καὶ τῶν δύο τὸ ἕτερον·
πολυωπὸν τρῆμα κάμινον ἤτοι πολυτρύπητον· πολυω-
πὸν δὲ δίκτυον μακρά· πορθμεῖον· τὸ πλοῖον· πορ-
θμεῖον δὲ τὸ ναῦλον λέγεται· πόμα· τὸ πνευμόνιον
καὶ ἱερόν· πῶμα δὲ τὸ σκέπασμα μακρά· ποιμένι-
ον· καὶ ποίμνη· πολύαθλον· καὶ μικρὰ πόλις· πο-
λυανδρίον τόπος· καὶ πολυκτόριον· πολυα-
ριον τόπος:·

Ποτνιώμενοι· παρακαλοῦντες ἢ ἐλεούμενοι· ἐλεη-
μονεῖν καταλέγοντες· ποθήσαιμος· ἀφ' οὗ
ποτὸς καὶ πνεύμονος ... ἐκ τοῦ πόμα·
πόσος ποσάκις· πέπωκα δὲ, καὶ ἱερόν· ποι-
πνύω· ἐνεργῶ· ποιφύξαι· φυγεῖν· πολυωρήσασθαι· φυλά-
ξασθαι· πολλὴν φροντίδα ποιήσασθαι· πομπαί· προ-
όδοι ποιεῖσθαι· πομποστολεῖ· τὸν μηνίσκον ἐκπέμπει·
φόλον· πορσύνων· ἐρεθίζων ἀτρεμίζων· πο-
ππύζεσθαι· κολακεύεσθαι· ἁρμόζεταί δὲ ἐπὶ τῶν μαγι-
κῶν ἵππων καὶ ἀγριοκαμήλων· ἐφ' ᾧ δὲ ἡ λέξις, πο-
ποι καὶ οἰμοι· πομπάζεται· ὁ φιλοκαλεῖται· ποτνι-
οῦσθαι· ὀχλεῖσθαι· ποιμαίνει· νέος καὶ διδάσκει· ποι-
μαλίζων· βασανίζων· πολιορκεῖ· ἀντὶ τοῦ πολε-
μεῖ· πολεύων· ζητῶν· πολίζων· πόλεις κτίζων· πο-
λυμενος· πεπολεμωμένος δὲ καὶ ἱερόν· πολεμικοῖς ὡ-
ἐπιθυμοῦν πολέμου:

Ποσῶς· καθολικῶς· πόσε· ἀντὶ τοῦ ποῦ· ποσάκις· πλει-
στάκις·

ποσαπλῶς· ἀντὶ τοῦ πολλαπλ(ῶς). πολλαχῶς· ἀναρίθ-
μητος. ποταμηδόν· δίκην ποταμοῦ. ποτα-
μί· προσφάτως. ποῖ τελιῶ· εἰς ποῖον τόπον. πολλαχῆ·
πολυμερῶς· διαφόρως.

τοῦ π μετὰ τοῦ ρ:

Πραίκων· ὁ κήρυξ. πρέσβις· παραιτήτωρ καὶ ὁ
ἀποκρισιάριος. προσφορώτατος· ὁ τῷ καιρῷ
ἐπιτηδειότατος, εὐαρμοδιώτατος ἢ ὁ ποριμώ-
τατος. προτιμότατος· ὁ μάλιστα κυ(ρίως).
ἀξιόματι. πραιπόσιτος.
προτέξιατος· ἀξιώματα. πραίσοι-
ξοῦαι. πρέμνος· ὁ κλάδος. πρηγορεῶν· ὁ λαιμός.
πρηνής· ἐπὶ πρόσωπον πεσών. πρασιαστής. βο-
ηθός. πρόμαχος. πρόβολος. πρόμολος καὶ λίθος
παραθαλάσσιος ὃς προβέβληται πρὸ τῶν θα-
λασσίων τειχῶν. προμοσεκηθός. πρόχειρος·
ἕτοιμος. προσήλυτος· ὁ ἀπὸ ξένης ἐλθών.
πρόπολος· ὁ δοῦλος ὁ ὑπηρέτης. πρόσφυξ· ὁ προσ-
φυγὼν ἐν ἐκκλησίαις. προπάτωρ· ὁ πρόγονος.
πρόστιμος· ὁ ἄτιμος καὶ ὁ ἐπικειμένοις ἀσχολούμενος.
πρόεδρος· ὁ ἡγεμών. πρυτανεῖς· ὁ ταμίας ὁ διοι-
κητὴς ὁ βοηθός. πρημοῖς· κατωφόροις. πρη-
στὴρ· κεραυνὸς καὶ ἀστραπὴ φλογίζουσα. τὸ δὲ ἐκ
τοῦ πρήθω τὸ καίω. τὸ δὲ πρήθω, παρὰ τὸ αἴθω
τὸ καίω. πρόοδοι· οἱ ἔμπροσθεν προφυλάκων τῶν.
πρηῶνος· τῆς ἐξοχῆς τοῦ ὄρους. πρίονος δὲ
τοῦ ἐργαλείου, ἰῶτα καὶ μὴ ἱερόν. πρίστις· ζῶον.
πρημάδος· ἰχθύος. πριόνωτος· ἰχθὺς καὶ ὄφις. πρέσ-
βυλος· ὁ παμμόλης. προίκτης· ὁ πένης. πρό-
τονοι· τὰ σχοινία. πρακτικός· ὅστις μετὰ τῶν
λοιπῶν ζώων

τοῦ σώματος καὶ τῆς ψυχῆς· πραπίδες· οἷον· πέκτων· χαλ-
κὶς καὶ τὰ ὅμοια· λογικὴ δὲ καὶ πρακτική, διαφέ(ρει)·
ὅτι τὴν μὲν λογικὴν μόνος ὁ ἄνθρωπος ἐπίσταται· τὴν
δὲ πρακτικήν, καὶ τινα τῶν ἀλόγων ζώων.
Πραπίδων· φρενῶν ἢ φρονήσεων· πρᾶξις· ἀπαί-
τησις· ἐνέργεια· πραϋπάθεια· ἡσυχία· πραΰτης·
πραότης· ἀκίνητος ψυχῆς κατάστασις· ἐν ἀτι-
μίαις καὶ εὐφημίαις ὡσαύτως ἔχουσα· πρῆξις·
ἢ πρᾶξις· πρεσβυγένεια· γένεσις παλαιοτέρα·
προσοχή· μῆνις· προσφώνησις· κήρυξις·
προσηγορία· φιλικὴ προσλαλιά· προσοκλάς·
ὅρμαος· προσκεκλῆσθαι· ἢ πρόμοια· προτίμησις·
ὁ ὀμφαλός· προμολή· ἀφορμή· προεδρία· ἡ προ-
τίμησις· προσεδρεία δὲ ἡ διηνεκὴς καὶ ἐπίμο-
νος ἀσχολία, δηλ(ονότι)· προφυλακαί· αἱ πρὸ τῶν ὡρῶν τῆς
νυκτός· εἰς τέσσαρας γὰρ φυλακὰς διαιρεῖται ἡ
νύξ· προσωποποιΐα· ὅταν πρόσωπόν τις
θέμενος ἢ ὑπόδικος· ἢ ὡς ἐκ προσώπου τινὸς
ὀφθῇ· προχοαί· αἱ τῶν ποταμῶν ἀφέσεις· προ-
σχοαί· θυσίαι· προσαγωγή· συνουσία καὶ ἕνωσις
θυμάτων καὶ ἀμνῶν· πρότασις· ἐν μὲν τοῖς ἄλλοις ἢ τὰ
δεῖσθαι ἀντιπαρέχειν· πρὸς τῆς τριάδος· ὅρκος ἐστί·
τὸ ὁρκίζειν δὲ ἐν ταῖς διαλέξεσι καὶ τοῖς φωσί, δι-
κανικοῦ λόγου ἐστὶ καὶ πολιτικοῦ· οὐκ ἐγκωμια-
στικοῦ· πρίσκιλλα· κ(αὶ) ἑ(ξῆς)· πρίσις ἢ κόψις· πρὸξ
ἡ ἔλαφος· πρὸξ δὲ ἡ δορκάς, καὶ ... πρόκερος
σας· παραλλήλους· προαίρεσις· ὄρεξις βουλευτική·
προσῳδία· ποιὰ τάσις ἐγγραμμάτου φωνῆς, ἐκ
ὑγιοῦς κατὰ τὸ συμπλεκτικὸν τῆς λέξεως·

φερομένη μελῳδία τις· ἢ τόνος τῆς φωνῆς ἐξ ἀρχῆς ἐπὶ μιᾶς συλλαβῆς·
ἤτοι κατὰ τὰς συνήθεις διαλέξεις ὁμολογουμένης, ἢ ὁ
κατὰ τὸν ἀναλογικὸν ὅρον καὶ λόγον· ἢ τόνος φωνῆς
κατὰ διάλεκτον ἢ κατ' ἐπαγγελίαν κατορθούμενος·
ἢ τόνος φωνῆς πρὸς ὃν ᾄδομεν καὶ τὴν φωνὴν
ἐρρυθμισμένην ποιοῦμεν· ἢ τὸ κρουόμενον τὸ ἐν τῇ ἐκφω-
νήσει γινόμενον. τριχῶς δὲ αἱ προσῳδίαι· προσῳδία
ὁ τόνος· προσῳδία καὶ ἡ χειρονομία· προσῳδία
ἡ τοῦ ὀργάνου φωνή· εἴρηται παρὰ τὸ [illegible] τὸ τι-
μώσκω· ἐκ δὲ τούτου ὄνομα ἀοιδή· καὶ κράσει τοῦ
α καὶ ο εἰς ω γίνεται ᾠδή· ἐκ δὲ τούτου ᾠδία καὶ προσῳδία.
ἐτυμολογεῖται δὲ παρὰ τὸ προσᾴδειν· ἐκ δὲ [illegible]
τῇ ὑποκειμένῃ λέξει· ἢ τὸ πρὸς αὐτὴν ᾄδεσθαι
τὰ ποιήματα· ᾠδὰς γὰρ οἱ παλαιοὶ τὰ ποιήματα
ἐκάλουν. προσῳδίαι δέ εἰσι δέκα· ὀξεῖα /
βαρεῖα \ περισπωμένη ⌒ μακρὰ —
βραχεῖα ∪ δασεῖα ⊢ ψιλὴ ⊣ ἀπόστροφος ’
ὑφὲν ‿ ὑποδιαστολή , διατί δέ εἰσι δέκα;
διότι καὶ ὁ δέκατος ἀριθμὸς τέλειός ἐστι· μετρεῖ-
ται γὰρ ἀπὸ τοῦ πρώτου ἕως τοῦ δεκάτου, καὶ
πληροῦται ὁ τέλειος ἀριθμός· καὶ πόσος μετρεῖ-
ται; γὰρ καὶ δύο, τρεῖς· δύο τρεῖς, δ΄ μέχρι τῶν
τεσσάρων. καὶ ἰδοὺ δέκα· καὶ λοιπὸν ὑπὲρ τὸν
δέκατον ἀριθμὸν οὐκ ἔστιν· ὁ γὰρ εἰκοστὸς, δὶς δέκα-
τός ἐστι· καὶ ὁ τριακοστὸς, τρὶς καὶ δέκατος· καὶ
πάντες οἱ λοιποί, ἀπὸ τῆς δεκάδος συντεθειμένοι
εἰσίν. διαιροῦνται δὲ αἱ δέκα προσῳδίαι, εἰς
δ΄· εἰς τόνους· εἰς χρόνους· εἰς πνεύματα καὶ εἰς
πάθη· διότι καὶ ὁ τέταρτος ἀριθμὸς, γόνιμός ἐστι
τοῦ δεκάτου·

καὶ πῶς ἐστι [illegible]· μακρὰ γάρ ἐστι τὰ ἀπὸ τῶν προσῳδιῶν, καὶ
δύο, [illegible]· δύο· τρεῖς μέν· μεθ' ὧν τέσσαρες καὶ ἰδοὺ
δέκα. κυρίως δὲ προσῳδίαι ἑπτά· ὀξεῖα / βαρεῖα
περισπωμένη ⌒ μακρά — βραχεῖα ∪ δασεῖα
ψιλή· ἡ γὰρ ἀπόστροφος ᾽ καὶ ἡ ὑφὲν ‿ καὶ
ἡ ὑποδιαστολὴ ͵ οὐκ εἰσὶ κυρίως προσῳδίαι ἀλλὰ
καταχρηστικῶς· ὅτι [illegible] αἱ μέν εἰσι, ἀπὸ στοιχείων
γινόμενα· τὰ δὲ πάθη, οὐ γίνονται ἀπὸ στοιχείων· καὶ διὰ
τοῦτο οὐκ εἰσὶ κυρίως προσῳδίαι. πάθη δέ εἰσιν αὗται
πάντα τὰ τρία· ἡ ἀπόστροφος ᾽ ἡ ὑφὲν ‿ καὶ ἡ ὑ-
ποδιαστολή ͵ καὶ διατί εἰσι τρία πάθη· καὶ [illegible]
[illegible] τῶν τριῶν τόνων. πάθος δέ ἐστι, φωνῆς ὑπ-
[illegible] σημεῖον, τὰ [illegible] καὶ γινόμενα
[illegible]· πάθη δὲ λέγονται, διὰ τὸ ἐν ταῖς παθητι-
καῖς λέξεσι τίθεσθαι. ἀντὶ τεσσάρων δὲ φωνηέν-
των τίθεται ἡ ἀπόστροφος· ἀντὶ τοῦ α· ἀντὶ τοῦ ε·
ἀντὶ τοῦ ι [illegible]· καὶ ἀντὶ τοῦ ο. ἀντὶ τοῦ α, ὡς
ἄρα οὗτος ἄρ' οὗτος. ἀντὶ τοῦ ε, ὡς τὸ, οὔ τε
δόμου [illegible] ἀντὶ τοῦ ι [illegible], ὡς τὸ, οὐχ οὗτος·
οὐχ οὗτος. ἀντὶ τοῦ ο, ὡς τὸ, ἀλλ' ὅ γε κακῶς ἀλέ[illegible]
προσάγει· ὅταν τὸ ἀξίωμα τοῦ θυμοῦ [illegible] τῷ
[illegible] παρὰ τοῦ θεοῦ, τότε προσάχομαι· [illegible]
[illegible] πρεσβεύτρια· ἐν τῇ [illegible] παραλλήλῃ
πρεσβευτρία. [illegible] λέξις προστίθεμένη
πάντων τῶν τοῦ λόγου μερῶν, ἐν τε συνθέσει καὶ συν-
τάξει· ἐν συνθέσει μέν, οἷον ἀναφορὰ καὶ προσφορά· ἐν συν-
τάξει δέ, οἷον ἐπὶ τῆς χώρας κατὰ τῆς χώρας· διατί
προστίθεται πάντων τῶν τοῦ λόγου μερῶν; διὰ τὴν
ἐν ὑπάρχουσαν αὐτῇ [illegible]· [illegible] ὁ ἄρθρος

ὁ μὲν δηλούμενος περισπᾶται ὑπὸ ἄλλων βαρυθόμενος
ἐκφέρεται, οὕτως καὶ ἡ πρόθεσις ἀεὶ μὲν ἑτέρα οὖσα
πάντων τῶν τοῦ λόγου μερῶν, ὑπὸ ἄλλων λέξεων βα-
ρυνομένη ἐκφέρεται. προθέσεις δὲ εἰσὶ τὴν μὲν
φωνὴν, ὀκτὼ καὶ δέκα· τὸ δὲ σημαινόμενον, ἑπτὰ καὶ
δέκα· ἡ γὰρ ἀμφὶ καὶ ἡ περὶ, τὸ αὐτὸ σημαίνουσι·
μονοσύλλαβοι δὲ προθέσεις, ἕξ· ἐν· εἰς· ἐξ· σύν·
πρός· πρό· δισύλλαβοι, δώδεκα· ἀνά· κατά·
διά· μετά· παρά· ἀντί· ἐπί· περί· ἀμφί·
ἀπό· ὑπό· ὑπέρ· διαφέρουσι δὲ αἱ μονοσύλλαβοι
προθέσεις τῶν δισυλλάβων· ὅτι αἱ μὲν μονοσύλλα-
βοι πᾶσαι, εἰς σύμφωνα κατέληξαν· μία δὲ ἐξ αὐτῶν
εὑρέθη λήγουσα εἰς φωνῆεν, ἡ πρό· αἱ δὲ δισύλλαβοι
πᾶσαι, εἰς φωνήεντα κατέληξαν· μία δὲ ἐξ αὐτῶν,
εἰς σύμφωνον ἡ ὑπέρ.

ροβήμασι· πηδήμασιν· ἐκ τοῦ πηδῶ· τὸ δὲ ἐμμακὸν ἱερὸν ου
τὸν εὐρρύθμοις πηδήμασι· ἐμβάδων δὲ ἀνδρῶα
ὑποδήματα παρὰ τὸ ἐμβαίνειν· πρυτανείων,
τιμῶν· ἤτοι βασιλικῶν· προμολεῖον· προυργιαίτε-
ρον· ἀναγκαιότερον· προῦπτον· προφανές· πρόρριζον·
ἐκ ῥιζῶν ἀνασπώμενον· προσαντές· ἐναντίον καὶ
ἐμποδιστικόν· προσήλια· τὰ θαλπόμενα ὑπὸ τοῦ
ἡλίου· πρόσχημα· ἡ ὑπόκρισις· προοίμιον· ὁ
πρόλογος· πρόστιμον· ἡ ζημία· πρόσφατον· τὸ
ἀρτίως γινόμενον· πρόσκομμα· ἁμάρτημα καὶ πρό-
κρισμα· προσοῖκον· πρέπον· πρᾶγμα· ὅπερ ἐκεῖ
τὸ πραχθῆναι, ἔχει ἀγνωμονίαν· πρόθεμα·
τὸ προγεγραμμένον· τουτέστιν ἡ ἐκ βασιλέως πρό-
ταξις ἐγγράφως δημοσίᾳ ἀνατεθειμένη· πρόκλημα·

γένος συνεσκιασμένος καὶ αἰνιγματώδης. καὶ ἡ ζωὴ τῆς α-
Πρός τι. ταὐτόν ἐστιν, οἷον τὸ ἅμα ταὐτόν ἐστιν ἐν τῷ
πρὸς ἕτερον λέγεσθαι. πρός τι δ' ἐστὶν, οἷον τὸ ἅμα ταὐ-
τόν ἐστι τῷ πρὸς ὅν τι πῶς ἔχειν. τινὲς δὲ σαφέστερον
ἑρμηνεύσαντες τὴν ὑπογραφὴν, ὅτι ταῦτά ἐστι πρός
τι, οἷον τὸ ἅμα ταὐτόν ἐστιν, ἐν τῷ πῶς ἔχειν πρὸς ἕ-
τερον. πρός τι δὲ λέγεται, ὅσα αὐτὰ ἅπερ ἐστὶν ἑ-
÷ [illegible] σημα ὁρ: τέρων ὑπάρχει. ἅμα δὲ καὶ ἀντιστρέφει πρὸς ἄλληλα.
Πρός τι. ἡ φύσις κυρίως καὶ πηγαίως καὶ μήτηρ πάν-
των ὀντότης ἐστί. πάντα δὲ ὅσα ἐκ τῆς φύσεως προέρ-
χονται, τῶν πρός τι λέγονται. αἱ γὰρ ὑποστάσεις καὶ ἡ
ἑτερότης. καὶ ἰδιότης. καὶ ποιότης. καὶ ἁπλότης.
καὶ πάντα τὰ λοιπὰ, ἐκ τῆς φύσεως τὴν αἰτίαν
πρόοδον ἔχουσι. καὶ κατὰ τοῦτο τῶν πρός τι λέ-
γονται. τουτέστι τῶν πρὸς τὴν ῥίζαν τῆς φύσεως
ἀποκρεμαμένων. ἐξ ὧν ἐστι καὶ ἡ θέλησις καὶ ἡ ἐνέρ-
γεια. Πρόσωπον. ὁ δι' αὐτῶν οἰκείων ἐνεργημάτων τε
καὶ ἰδιωμάτων, ἀρίδηλον καὶ περιωρισμένην τῶν
ὁμοφυῶν αὐτοῦ παρέχεσθαι καὶ τὴν ἔμφασιν. καὶ
ἐνουσίου ἰδιότητος φανέρωσις. καὶ λόγος σωματ-
ἀχώριστα ὁμοτελεῖ ἐστιν. καὶ χαρακτὴρ ὑποστάσεως. Πραι-
τώριον. παρὰ τὸ πραίτωρ πραιτώριον. ὅπου τὰ
πραττόμενα ἐρωτῶνται καὶ φυλάττονται. πλεο-
νασμοῦ τοῦ ι. Πρόκατον. παρὰ τὸ ἔχειν βάσιν ἐπὶ τῆς
περὶ τῆς ὀπισθίου κάσεως. πολλάκις καὶ κατὰ κοι-
νοῦ ἐπὶ πάντων τῶν κοσκημάτων [illegible] ἡ λέξις:
ἀρχ(ὴ) τοῦ ρη Προνοητέον. ἀντὶ τοῦ φροντιστέον. Πριάμενος.
ἀγοράσας. Προύχοντος. ὑπερέχοντος. Προεληλυθ.
Προδοσία. Προσκομιστέον. Προσενεκτέον. Πρῶτος.

ἐφύσκον· πρηκόσουσαι· πρῶσαι· πρυμνὸς· τὸ πρὸς αὐτῷ
κατὰ τὴν τροπὴν τοῦ ἀστέρος π· προσεκτέον· σπουδαστέ-
ον· προσαρασσόμενον· προσρηγνύμενον· προσσό-
μεσθαι· προσδοκήσομεν· προσήκατο· προσέδωκε· προσέ-
πεμψε· προσιζήσας· προσκαθίσας· προσφλόμενοι·
προσέκειμαι· προσήκατο· προσεδέξατο· προσώχθι-
σεν· ἐνεβελυξάμην· προσίσχουσι· προβάλλεται ἡ κερα-
ίας· ἀπὸ τοῦ ἴσχω τὸ κρατῶ· προσπελάζεις· προ-
σεγγίζεις· προσφέρον· προσαίτων· πρόσφυμι· προ-
σφράσον· προπηλακίζω· ὑβρίζω· προτιμᾶς· διαφέρ-
οιμου τιμαῖς· προχάρισαι· προσκαλοῦ· προσφθέγξαι·
προσήγαγον· προκυλινδοῦμαι· κυλίομαι· προσφωνεῖς·
προσαγορεύεις· προσποιεῖσθαι· ὁ ψεύδεσθαι· προ-
σκίρτησον· χόρευσον· πρηκαίμος· στόμαιμος· πρη-
μίσθος· πίστος· πρίκαι· φρεάτος· πρίεται· σχίζε-
πριόμενος· κοπτόμενος· πριάμενος δὲ ἀφρόντιστος·
μάται· προμόλε· προέλθε· προφάκασιν· ἐπέμψαν·
Πρὶν· καὶ πρότερον· προσφόρος· ἁρμόδιος· προ-
προπαθήν· προτρεπτικὸς· φάσω μὲ ἐκ τοῦ πολέμου·
προσώς· ἐκπεραθέν· πρημνὴ· ἐπὶ τὸ πρόσωπον· πρα-
κτέον· δέει πράττειν· πρᾶος· ἥσυχος· πρόχνυ· παν-
τελῶς· πρόσεχε· ἀντὶ τοῦ πόριμη ἐπιτηδευταὶ κατὰ
σαυτόν· ὡς τὸ πρόσεχε σεαυτῷ

~~~~ τὸ π μετὰ τοῦ τ :

Πτορμισμὸς· ὁ ἐπιβουλή· δόλος· ἀπάτη· πόρθος· κλά-
δος κλάδος· πτόρξ· λαγωὸς· ἀπὸ τοῦ πτήσσω· τὸ φο-
βοῦμαι· δηλὸν γὰρ ἐφιλίαν· πτύελος· τὸ πτύσμα· πτε-
ρωτικὸ· ἀλλὰ πηκουφιστικό· πτυχαρίς· καὶ πτυχαρίς·
ὁ καρκῖνος εἰ τοι τὸ πορφύριν· διὰ τὸ τὰς πτύχας εἶναι
πτυξίαν τὸ
~~~~

τῶν μὸ φρέγων ἀγράφων· λέγεται δὲ ἔνδομον τὸ πτυχὴ τιθέναι
λίθιδιον καὶ κερόν· ὅπως ἐρᾶν μὴ διὰ τοῦ ποδὸς ἐφελκύσῃ
τὴν ὀφρὰ κὴν σάρκα· πταρμός· κεφαλῆς ἀλγηδών·
ἐπεὶ οἱ θεῖοι τοῦ καὶ κατὰ πρὸς λόγον τοῦ καρδίας, πταρμικῶς·
πτολεμαῖος· κύριον· πτώρθος· πτωχός· ὁ ἀπὸ πλούτου
κατελθὼν εἰς ἔνδειαν· ἀπὸ τοῦ πτώσσειν· ἢ ἀπὸ τοῦ
πτώσσειν καὶ προσπίπτειν τοῖς δεομένοις· ἢ παρὰ
τὸ πτήσσειν τὴν ὄχλον· τουτέστι τὴν τροφήν·
δζ Π πύα· ὁ φόκος· πυάτη· ἡ τρίκαια ἢ τὸ πίτυρον·
πύγων· αἱ ἐξοχαὶ ἢ ταῖς ἀρμαῖς τῶν μικελίων· πύσφο·
τῶν ῥηθέντων· ἢ πέμπεται· ἢ δεξιὰ· καὶ πλαξί· καὶ ἢ κλάξι· πτῆς·
ἢ τῶν ὁρμήθων πτήσεως· πτολεμαῖς· πόλις·
λη ου Π πύλαι τὰ πύραι· πελέον· τόπος· περαίνεται· πύργωται·
πολίεθρον ἢ καὶ κεφαλὴ πόλις· πυέλον· τὸ πύελον·
πυθὼ καί· ἢ πυθοῦς·
ε Π ποῖος· τὸ φοβοῦμαι· πτύσσω δὲ τὸ ἀσφαλίζω καὶ πτυάσσω,
πίλον· πτύσσω δὲ χιὼν· πτήσσω· τὸ φοβοῦμαι· πτύ-
σσω δὲ τὸ τύπτω, ἰῶται· πτύρεσται· πτυχωταί· πτε-
ρώσεις· ταῖς πτέρυξι τὸν ἀέρα πλήττεις· πτοροῦμεθα·
κουφίζομεθα μετεωρούμεθα· πταίη· πτοίασθαι·
πταίω· σφάλλεσθαι· πτήξω· τὸ φοβοῦμαι· παρὰ τὸ πτύω
πτίσσω· πτώσσω· πτήξω· ὁ γὰρ φοβούμενος, τὸ ποιὸν ἔοικε·

τὸ π μετὰ τοῦ υ :

ζ Πύελος· ἢ λεκάνη· πυθμήν· πᾶν τὸ ὑποκάτω τοῦ βά-
θους· πυλωρός· ὁ τῶν πυλῶν φύλαξ· οὖρος γὰρ τὸ
φυλάσσω· πυρός· ὁ σῖτος· πυρρός· ὁ ξανθός· πυρσός·
ὁ λαμπτὴρ ἢ πυρκαϊά· πυκαῖος· ὁ ἀκόλαστος· πύελος·
σχῆμα· πυρὸν πυρῆνος· τοῦ ὀστοῦ τῆς ἐλαίας· πύρνον·
ἄρτου κόμμα· πυρρώνειοι· φιλόσοφοι καί.

πυργισμός· τόξ(ευμα). πυριφλεγέθων· ποταμὸς ἐν ᾅδ(ῃ)
κατὰ Ἕλληνας· οἳ καὶ δὲ τὸ ἄσβεστον πῦρ λέγ(ουσι)· ἢ τὸν
ἐν τῇ γραφῇ πύρινον ποταμόν. πύανθος· κύ(ριον). πυ-
γοστόλος· ὁ καλλόλαφος. πόρμος· πύαρος καὶ ποαρτὶ οἰκ-
Π υγμή· σύμπηξις δακτύλων τοῦ γερόνθω(ν). πυργομάχ(οι)· 155
προμαχόμενοι ἢ τειχομάχοι. πυρρίχη· ἔνοπλος ὄρ-
χησις. πυράγρα· τὸ διλαβεῖον. πυκινή· ἡ συνετή
ἢ πυκνή. πυκιμήδης· ἢ συνετόβουλος ἢ καθυ-
μόνεος ἀπὸ τοῦ πύκα καὶ πυκνῶς. ἢ συνετῶς καὶ
μήδεα τὰ βουλεύματα. πυξίς· τὸ πινακίδιον. πυ-
ρήνη· ὄρος. πύστις· ἡ μάθησις. πυθὼ καὶ πυθία
ἢ ἐν δελφοῖς. ἐκλήθη δὲ πυθία, διὰ τὸ ἐκεῖσε σαπῆναι
τὸν δελφύνην δράκοντα ὃν ἐκεῖσε εὑρὼν ὁ Ἀπόλλων
ἀπέκτεινεν. πύθω γὰρ τὸ σήπω.
Π ῦρ· ἓν τῶν τεσσάρων στοιχείων ἐστί· κοῦφόν τε καὶ
ἀνωφερέστερον λοιπῶν· καὶ καυστικόν τε καὶ φωτιστικ-
ὸν τῇ προόντῃ ἡμέρᾳ ὑπὸ τοῦ δημιουργοῦ κτισθέν·
φησὶ γὰρ ἡ γραφή· καὶ εἶπεν ὁ θ(εὸ)ς γενηθήτω φῶς καὶ
ἐγένετο φῶς. οὐχ ἕτερον γάρ ἐστι τὸ πῦρ, εἰ μὴ τὸ φῶς.
Ἐποίησε δὲ αὐτὸ κάλλος πρῶτον καὶ κόσμον πάσης τῆς
ὁρατῆς κτίσεως. ἄφελε γὰρ τὸ φῶς, καὶ πάντα τῷ ἐν
τῷ σκότει ἄγνωστα διαμένουσι· τὴν οἰκείαν καλλο-
νὴν μὴ δυνάμενα ἐπιδείξασθαι ἀπρέπειαν. ἐκάλεσε δὲ ὁ
θ(εὸ)ς τὸ μὲν φῶς, ἡμέραν· τὸ δὲ σκότος ἐκάλεσε νύ(κτα).
σκότος δέ ἐστιν, οὐκ οὐσία τις· ἀλλὰ συμβεβηκός·
φωτὸς γάρ ἐστι στέρησις. ὁ γὰρ ἀήρ, οὐκ ἐν τῇ οὐσίᾳ
αὐτοῦ ἔχει τὸ φῶς. αὐτὸ οὖν τὸ ἐστερῆσθαι τὸν ἀέρα
φωτός, σκότος ἐκάλεσεν ὁ θ(εό)ς· καὶ οὐχ ἡ οὐσία τοῦ ἀέρ(ος)
ἐστὶ σκότος, ἀλλ' ἡ τοῦ φωτὸς στέρησις. ὅπερ συμβεβηκ(ός)

μᾶλλον δηλοῖ, ἢ προουσίαν· πῦρ βλέφαρον· ζωπυρού-
μενον ἀναφλεγόμενον διὰ τῆς ἐπεκκαιούσης τοῦ πυρὸς
καὶ στρεφούσης ὕλης· πυκτίον· τὸ μικρὸν βιβλίον ἀπὸ τοῦ
πτύσσεσθαι· ὅ ἐστιν ἀσφαλίζεσθαι· πυκτίον δὲ ἐν ᾧ γ
σι ταῖς πυκτίαις, δέλτος· πυμάτιον· ἔσχατον· πυρίκαυ-
στον· τὸ ἐν πυρὶ καυθέν· πύομαι· ἐξωτήκομαι· ἐκ
πύθος τὸ μανθάνος· πύματον· ἔσχατον· πυθεῖον·
τὸ μαντεῖον· πύθια· τόπος καὶ ἑορτή· πυρηναῖ-
ον ὄρος.

ἐκ Πυκάζουσιν· κοσμοῦσι· σκιάζουσι· πυνθάνομαι·
ἐρωτῶ· πύθος· μανθάνος· πυρπολεῖται· καίεται
ἐμπυρίζεται· πυθοίατο· μάθοιεν· πύθω· τὸ σή-
πω· καὶ τὸ μανθάνω· καὶ ἀκούω· ὄζω· καὶ τὸ πυν-
θάνω· πύθωμαι· ἀκούσω· καὶ πύθονται· πυθό-
μενος δὲ, καὶ ἕτερον· πυθέσθαι· μαθεῖν· πυρσομορφοί·
οἱ τοῖς πυριμόρφοις ποιεῖ· πυκάζω· κατακαλεῖ
στέμας, τὸ καλύπτω· καὶ ταῖδε ἐστέμας, τὸ κλαδοφύω·
πύκαι· ζωεστῶς ἐπιβεβλημένως· πυριηδόν· δίκην πυρός:

τὸ π μετὰ τοῦ ω:

Πωλοδαμνής· ὁ στρατιώτης ὁ τοὺς πώλους δαμάζων· πῶρος·
ὁ λίθος· πῶρος· κυρίως· πωρίασις· τράχος· πῶλος· ὁ ἀσ-
θαρος· πῶλος δὲ ὁ νέος, καὶ ἕτερον· πωρομίας· κυρίως·
Πώρωσις· ἀμαθησία· πωλεῖται· ἐκ τοῦ ἵππου παιδ...
πωΰ· ἕξεσι· παραίτησιν λέγειν καὶ τὴν εὐχήν.
Πωμάριον· τὸ τεῖχος καλλόπισμα· πόπανα·
πλακούντων γένος· πωλή· τὸ πρατήριον· πῶ-
μα· τὸ σκέπασμα.
ἐκ Πωλέω· ἵππον ἐπιβουλοῦμαι· πωλῶ· τὸ πιπράσκω· ἀπ
πολῶ δὲ τὸ ἀναστρέφομαι, καὶ ἕτερον· πόμαλα· ἄφνω
οὐδαμῶς:

τοῦ ῥ μετὰ τοῦ α :-

ῥαγδαῖος· σφοδρός. ῥαδιουργός· πλαστογράφος. ῥαι- αφξ
στήρ· σφαῖρα σιδηρᾶ. ῥαββουνί· διδάσκαλος. ῥαιβό·
στρεβλὸς σκέλος. ῥαῖκος· ὁ ῥωμαῖος. ῥαῖδος· ὁ μολυ-
θηρός. ῥαιχμὸς· σχίσις. ῥακά· ἀντὶ τοῦ σὺ ἑρμη-
νεύεται τῇ σύρων γλώσσῃ. ὡς τὸ ἄπελθε σύ. ἢ ἀπὸ
τοῦ δημίου. τίμε δὲ τῇ ἑβραΐδι φωνῇ, καταπτυ-
στὸν ἑρμηνεύουσιν. ῥᾴθυμος· ὁ ἀναπεπτωκώς.
ῥάχος· ὁ σκόλοψ.

ῥαχήλ· ἀμνὰς ἢ ποιμαίνουσα. ῥαδιουργία· ἀπάτη. αφξ
ῥακώδει· ἐπιστικοῦ λόγῳ. ῥαθάμιγγες· σταγό-
νες· καὶ ὁ ἀπὸ τῶν ἵππων κονιορτός. ῥαθυμία·
ἢ ἀμέλεια. ῥαφάνη· ὁ κοινῶς. ῥαχὶς· τὸ νώτιον
μέρος. ῥαβέννα· πόλις. ῥαφὶς· ἢ βελόνη καὶ ὄνο-
μα ἰχθύος. ῥαιστῆρος σιδηροῦ. ἢ τῶν ῥωμαίων ὄζουσα.
ῥαχίαι· τόπος ὑψηλός. ῥαψῳδία· ἀπόκομμα ποι-
ήματος· περιλαβὸν καὶ ἔχον ἐν ἑαυτῷ, ὀλίγην ὑπόθεσιν
καὶ λεπτὴν περιπέτειαν. περιπέτεια δέ ἐστιν, ἡ ἀπὸ
θέσεως σύμπτωμα. ὡς ἡ τοῦ κλήρου, ἐξ ὀργῆς ἀχι-
λλέως. καὶ ἡ κλῆσις, ἀπαίτησιν ὁμήρου. καὶ ἡ γάμημα
ἀλεξάνδρου καὶ μενελάου μονομαχίαν. ἢ ῥαψῳδία
ἐστὶ, μέρος ποιήματος ἐκ περιλήψεως τινὰ ὑπό-
θεσιν. ῥαψῳδία δὲ ἐτυμολογεῖται, παρὰ τὸ ῥάπτω
καὶ τὸ ᾠδή. ἢ παρὰ τὸ ῥαβδῳδία καὶ τροπῇ τοῦ β εἰς
ψ, γίνεται ῥαψῳδία. ῥαφάνη· παρὰ τὸ ῥᾶφος.
ῥαχίας· πᾶς ἐν τῇ θαλάσσῃ πέτρας.

ῥᾶον· εὐκολώτερον. ῥαπτόν· ποικίλον. ῥάκος· αξ ου
περιαυχένιον ὃ καλοῦσιν ἐν περσικῇ γλώσσῃ
μανδύας. ῥάρος· τὸ βρέφος. ῥαδαλὸν· διασεσ-
ταλμένον χαῦνον.

ῥάδιον· τὸ φορτίον· ῥαίδιον· ἅρμα σκεπαστόν· ῥαικυλ· καὶ ῥαίκλον· τὸ ξύλον· ῥάβον καὶ ῥάβος καὶ ῥαβδμος, ἀπὸ τοῦ ἀκόλως καὶ ῥαδινός.

ἐν ῥ ῥαῖσαι· κουφίσαι· ῥαμίσεται· ἐκπηδήσει· ῥαιώσας· κατεάξας· ῥαισῶσι· τελευτῶσιν· ῥᾳδιουργῶν· ἀπατῶν. ῥαδαμίζειν· τὸ τιμᾶσθαι.

τὸ ῥ μετὰ τοῦ ε :—

Ῥ εαῖτος ποταμός· ῥέστης· ὀρέων· ῥεγεῶμες· ῥεμβασμοί :— ῥέμβω· ζωμηλωρίον ὃ οἱ κασι λέγουσι θωμμεῖται· ῥεβέκκα· κύριον· ῥέωμη· ἥ ἥρα· ῥέα· θεά.

Ῥ εέθρων· ῥευμάτων· ῥέθη· τὰ μέλη· ῥεφαλ· ξύλον· ῥέθος· τὸ πρόσωπον· ῥέγος· τὸ βάμμα· καὶ ῥέγος οἱ καφθῶ· ῥέδιον· ἅρμα σκεπαστόν.

ἐν Ῥ εόντων· παρερχομένων· ῥέπει· κλίνει· ῥέζει· πράττει· ῥέθεσκον· ἔπραττον· ῥέχθεον· ἐστέναζον· ῥέα· ἀκόλως· ῥέα· ἀκόλως.

Ῥ ηγμὴν· ὁ αἰγιαλός· ῥηξήνορα· ἀνδρεῖοι· ῥῆμες· πρόβατα· καὶ εὐθεῖα ὁ ῥὴν τοῦ ῥηνός· ῥητῶρ δικαστὸς ἐν λόγοις· ῥηΐστορος· ἀχορέστορος· ῥηγὰς· ὁ βαφεύς. ῥηγῖνος· τὸ ξύλον.

ἐν Ῥ ήσεις λόγοι· ῥητῶν καὶ μέτρων· ὡρισμένων· ῥητικῶς καὶ κακίστης συμφωνία ἣν λέγουσιν θεολογία γρηγορίου· ῥητίνη· κύριον καὶ τῆς παλαιᾶς τοῦ ὑπερῴου· ῥήτρων· καὶ ῥητορεία· ῥηβαπτία· πόλις.

ἐν Ῥ ῆγος· τὸ καπτοὶ ἱμάτιον· ῥηίτορον· ἀκόλως· ῥῆμα· λέξις ἀπόστος ἐνδεκτικὴ χρόνων τε καὶ προσώπων ἀριθμῶν· ἐνέργειαν καὶ πάθος παρεισῶσα· διαστίζειν ἀπόστος· ἐπειδὴ πῶς ὁ οὐκέ

ἐπιδέχεται. διατί ἡ προστακτικὴ ἐπιδεκτικὴ χρόνων τε καὶ
προσώπων καὶ ἀριθμῶν. ἐπειδὴ χρόνους καὶ πρό-
σωπα καὶ ἀριθμοὺς ἐπιδέχεται. διατί ἡ περιέχει ἐνερ-
γείας καὶ πάθους. ἐπειδὴ παρεμφαίνει τήν τε ἐνέρ-
γειαν καὶ τὸ πάθος. ἐνέργειαν μὲν, οἷον τύπτω· πάθος
δὲ, οἷον τύπτομαι. καὶ ῥῆμα ἐστὶ, μέρος λόγου ἄπτω-
τον ἐν ἰδίοις σχηματισμοῖς, διαφόρους χρό-
νους δηλοῦν· μετ' ἐνεργείας καὶ πάθους, καὶ οὐδὲ προ-
σώπου σημαντικόν. ὥσπερ καὶ τὰς τῆς ψυχῆς διαθέσεις
δηλοῖ. διατί ἡ πτ μέρος λόγου. ἐπειδὴ ἐκ τῶν ὀκτὼ
μερῶν τοῦ λόγου, ἓν μέρος ἐστὶ τὸ ῥῆμα. μέρη δὲ τοῦ
λόγου εἰσὶν ὀκτώ· ὄνομα· ῥῆμα· μετοχή· ἄρθρον·
ἀντωνυμία· πρόθεσις· ἐπίρρημα, σύνδεσμος.
διατί ἡ πτ ἐν ἰδίοις σχηματισμοῖς διαφόρους
χρόνους δηλοῦν. διὰ τὰ χρονικὰ ἐπιρρήματα
οἷον· τὸ χθὲς σήμερον αὔριον· ἰδοὺ γὰρ καὶ αὐτὰ
χρόνου σημαντικά εἰσι· καὶ διαφόρους χρόνους
δηλοῦσιν· ἀλλ' ἐν ἀλλοτρίαις φωναῖς, καὶ οὐκ ἐν ἰδί-
οις σχηματισμοῖς· οὐδὲ γὰρ μετέχει τοῦ χθὲς,
τὸ σήμερον αὔριον· ἀλλὰ ἐκλέγεται μεταλλαγῇ τῆς φω-
νῆς ἐγένετο. τὰ μέντοι ῥήματα ἐν ἰδίοις σχη-
ματισμοῖς, διαφόρους χρόνους δηλοῦσι· καὶ οὐκ ἐν
ἀλλοτρίαις φωναῖς. διατί ἡ πτ οὐδὲ προσώπου
σημαντικόν. διὰ τὴν ἀοριστίαν. ἐπειδὴ εἰσὶ τινὰ ῥήματα
οὔτε ἐνέργειαν οὔτε πάθος δηλοῦσιν· ἀλλ' ἅμα καὶ
οὐδέτερα λέγονται. ὡς ἐπὶ τοῦ ζῶ· πλουτῶ· ὑπάρχω.
Διατί ἡ πτ ὥσπερ καὶ τὰς τῆς ψυχῆς διαθέσεις
δηλοῖ. ἐπειδὴ τῶν ῥημάτων τὰ μὲν ἔχουσι πρό-
σωπα· ὡς τὰ ὁριστικά· προστακτικά· εὐκτικά· ὑποτακτικά.

ἅτινα καὶ διαθέσεις ψυχῆς ἔχουσι. τὰ δέ εἰσι μοῦνον
χωρὶς προσώπων ὥσπερ τὰ ἀπαρέμφατα. παρέ-
πεται δὲ τῷ ῥήματι, ὀκτώ· ἐγκλίσεις· διαθέσεις·
εἴδη· σχήματα· ἀριθμοί· πρόσωπα· χρόνοι, καὶ
συζυγίαι. ἔγκλισις δέ ἐστι βουλὴ καὶ ψυχῆς διὰ φω-
νῆς σημαινόμενον. ἐγκλίσεις δέ εἰσι, τέσσαρες.
ὁριστική· προστακτική· εὐκτική· ὑποτακτική.
ἡ γὰρ ἀπαρέμφατος, οὐκ ἔστι κυρίως ἔγκλισις.
ἐπειδὴ ἔγκλισις, λέγεται βουλὴ καὶ ψυχῆς. ἡ δὲ
ἀπαρέμφατος οὐκ ἔχει βουλὴν καὶ ψυχήν, εἰκό-
τως οὐδὲ ἔγκλισίς ἐστι. προτέτακται δὲ ἡ ὁριστι-
κὴ τῶν ἄλλων ἐγκλίσεων· ἐπειδὴ ὥσπερ ἐν τοῖς ὀ-
νόμασιν ἡ ὀρθὴ πτῶσις πρώτη ἐστὶν ἡ ἀληθοῦ-
σα τοῦ ὀνόματος, οὕτω καὶ ἡ ὁριστικὴ τῶν ἄλλων
ἐγκλίσεων. διάθεσις δέ ἐστιν, ἡ τοῦ σω [illegible]
θέσεις. ἡ διάθεσίς ἐστιν, δρᾶσις ἡ πεῖσις. ἐν αἷς
διατίθεται καὶ κατατίθεται ἡ ψυχὴ ὡς ἐνεργοῦ-
σά τι ἢ πάσχουσα. διαθέσεις δέ εἰσι, τρεῖς· ἐνέργεια·
πάθος· μεσότης. μεσότης δὲ διάθεσίς ἐστιν, ἡ ἑκα-
τέρων τῶν μερῶν μετέχουσα ἐνεργείας καὶ
πάθους. εἶδος δέ ἐστι, φωνῆς εἰκών. τὴν ἐν αὐτῇ
δηλοῦσα προτέραν ἢ δευτέραν σχέσιν. εἴδη δὲ δύο
εἰσί· πρωτότυπον καὶ παράγωγον. σχῆμα δέ ἐστι,
λέξεων ποσότης ὑφ' ἕνα τόνον καὶ ἓν πνεῦμα
ἀδιασπάστως φερομένη ἐν ἁπλότητι ἢ συνθέσει. σχή-
ματα δέ εἰσι τρία· ἁπλοῦν· σύνθετον· παρασύν-
θετον. ἀριθμὸς δέ ἐστι, σωρεία μονάδων. ἢ μονά-
δος σύνθεσις. ἀριθμοὶ δέ εἰσι, τρεῖς· ἑνικός· δυϊ-
κός, πληθυντικός. πρόσωπα δέ εἰσι, τρία· πρῶ-
τον.

δεύτερον· τρίτον· πρῶτον δὲ πρόσωπόν ἐστιν, τὸ ἀφ' οὗ ὁ λόγος· δεύτερον, τὸ πρὸς ὃν ὁ λόγος· τρίτον, τὸ περὶ οὗ ὁ λόγος· χρόνος δέ ἐστι, πλατικὸς ἐνιαυτὸς καὶ καιριαῖος· ἅμα γὰρ τὸ λέγεσθαι ἔχει καὶ τὸ εἶναι· τρεῖς δέ εἰσι χρόνοι· ἐνεστώς, παρεληλυθώς, μέλλων· καὶ ἐνεστώς ἐστιν, ὁ ἐνιστάμενος καὶ ἀπλήρωτον ἔχων τὴν σημασίαν· παρεληλυθώς, ὁ ἤδη παρελθών· μέλλων, ὁ μήπω γενόμενος· συζυγία δέ ἐστι, σύνελασις καὶ συζυγία διὸ συλλαβῶν, ἤγουν κατὰ συλλαβήν· ἢ ἀκόλουθος ῥημάτων κλίσις· συζυγία δὲ ποίου μέρους λόγου ἐστίν· ὀνόματος· ποίου γένους· θηλυκοῦ· ποίου ἀριθμοῦ· ἑνικοῦ· ποίας πτώσεως· γενικῆς τῶν ἑνικῶν· πῶς ἐστιν κατ' ἀλήθειαν ἡ συζυγία· πόθεν γίνεται· ἐκ τῆς σὺν προθέσεως καὶ τοῦ ζυγός· τὸ δὲ ζυγός, παρὰ τὸ δύο ἄγειν· δυαγὸς καὶ ζυγός· καὶ ὡς ἐν τῷ ... συζυγία· ἀλλ' ἡ σὺν πρόθεσις· σὺν τεθεῖσα μὲν μετὰ ἑτέρας λέξεως τῆς ἀπὸ τοῦ ζ ἀρχομένης, τέλεον ἀποβάλλει τὸ ν· τὸ θέμα δὲ χρόνος, παρὰ τὸ ῥέω ῥόνος καὶ χρόνος· καὶ πλεονασμῷ τοῦ χ, χρόνος· εἴδη δὲ τῶν παραγώγων, ἑπτά εἰσι· πατρωνυμικόν· κτητικόν· συγκριτικόν· ὑπερθετικόν· ὑποκοριστικόν· παρώνυμον, ῥηματικόν· καὶ πατρωνυμικόν ἐστι, τὸ κυρίως ἀπὸ πατρὸς ἐσχηματισμένον· καταχρηστικῶς δέ, καὶ τὸ ἀπὸ προγόνων κυρίως γενόμενον, καὶ ἤγουν τὴν γενεὰν αὐτοῦ ἀναλυόμενον· πόσοι τύποι τῶν πατρωνυμικῶν ἀρσενικῶν· τρεῖς· ὁ εἰς δης· ὁ εἰς ων· ὁ εἰς αδιος· ὁ εἰς δης, οἷον Ἀτρείδης· Ἀτρείδης δὲ ποίου εἴδους τῶν παραγώγων· πατρωνυμικοῦ· ποίου τύπου· τῶν πατρωνυμικοῦ·

δ᾽ Ἀτρέου· τρίτον ἴων· οἷον Ἀτρείων· Ὑρράδιος· ποῖα εἴδη
τῶν παραγώγων· πατρωνυμικοῦ· ποίου τύπου τῶν
πατρωνυμικῶν· τρίτου τοῦ εἰς άδιος· πόσοι τύποι
τῶν θηλυκῶν· τρεῖς· εἰς ις· εἰς ας· εἰς νη· εἰς ις,
οἷον Πριαμίς· εἰς ας, οἷον Πηλιάς· εἰς νη, οἷον Ἀ-
δρηστίνη· Νηλήιοι ἵπποι· κτητοὶ τοῦ Νηλέως, ποίου
εἴδους τῶν παραγώγων· κτητικοῦ· καὶ τί ἐστι κτητικόν;
τὸ ὑπὸ τὴν κτῆσιν ἐμπεπτωκὸς ἐμπεριειλημμένου
τοῦ κτήτορος· διαφέρει δὲ τὸ πατρωνυμικὸν τοῦ
κτητικοῦ· καὶ γὰρ τὸ πατρωνυμικόν, ἐκ μόνου
κυρίου γίνεται· τὸ δὲ κτητικόν, ἐκ κυρίου καὶ
προσηγορικοῦ· τί δέ ἐστιν ἐκφαντικόν· τὸ ἐκ-
φαῖνον τινὰ τέχνην εἴτε γραμματικὸν εἴτε φιλό-
σοφον· πόσοι τύποι τῶν κτητικῶν· δύο· εἰς ος,
καθαρόν· οἷον δόλιος· καὶ εἰς κος· οἷον αἰολικός·
πόσοι τύποι τῶν συγκριτικῶν· τρεῖς· εἰς τερος·
οἷον ὀξύτερος βραδύτερος· καὶ εἰς ων καθαρόν·
οἷον καλλίων βελτίων· καὶ εἰς σων· οἷον κρείσσων
ἥσσων· συγκριτικὸς δέ ἐστιν, κατὰ τῶν πρωτοτύπων
δ᾽ ἐπαύξησις· οἷον ὀξὺ ὀξύτερος· τύποι δὲ τῶν
ὑποκοριστικῶν, ἕξ· εἰς ων δισύλλαβος· οἷον Μάκ-
χων ὁ Βακχυλίδης· καὶ εἰς ων παραληγόμενος,
οἷον μωρίων ὁ μωρός· εἰς αξ, οἷον ἕρδαξ ὁ ἕρδος·
εἰς ας, οἷον Ζηνᾶς ὁ Ζηνόδωρος· καὶ Μητρᾶς ὁ
Μητρόδωρος· εἰς κος, οἷον ὁ γραμματικός· ὁ
εἰς λος, οἷον ναυτίλος ὁ ναύτης· πόσα ὑποπέ-
πτωκε τῷ ὀνόματι· εἴκοσι τέσσαρα· τί καὶ τί·
κύριον· προσηγορικόν· ἐπίθετον· πρός τι ἔχον· ὡς
ὁμώνυμον· συνώνυμον· διώνυμον· ἐπώνυμον·

φερώνυμον· ἐθνικ(όν)· ἐρωτηματικ(όν)· ἀόριστ(ον)· ἀναφορικόν· ὃ καὶ ὁμοιωματικόν· καὶ δεικτικόν· ἀνταποδοτικὸν καλεῖται· περιληπτικόν· ἐπιμεριζόμενον· περιεκτικόν· πεποιημένον· γενικόν· ἰδικόν· τακτικόν· ἀριθμητικόν· μετουσιαστικόν· ἀπολελυμένον· ποίῳ ὀνόματι ὑποπέπτωκε· τῷ γενικῷ καὶ τῷ κοινῷ· καὶ ποῖον λέγεται γενικὸν ἐνταῦθα· τὸ ὄνομα· καὶ ποῖα ἐστὶ τὰ αὐτοῦ εἴδη· τὸ κύριον καὶ τὸ προσηγορικόν· ποσαχῶς τὸ εἶδος· διχῶς· κατὰ φωνὴν καὶ κατὰ σημασίαν· ποσαχῶς διαιρεῖται τὸ παράγωγον· ἑπταχῶς· εἰς πατρωνυμικόν· κτητικόν· συγκριτικόν· ὑπερθετικόν· ὑποκοριστικόν· παρώνυμον· ῥηματικόν· διαθέσεις δὲ τοῦ ὀνόματος, εἰσὶ δύο· ἐνέργεια καὶ πάθος· κριτής· ποίας διαθέσεως· ἐνεργητικῆς· κριτής [illegible]· ἀπὸ κρίνω καὶ ἐνεργητικῶν· κριτός· ποίας διαθέσεως· παθητικοῦ· κριτὸς γὰρ λέγεται, ὁ κρινόμενος καὶ πάσχων· ῥήγιον· τόπος· ῥηΐστον ἀκόλουθον· ῥηξίφλοιον· τὸ ῥηγνύον τὸν φλοιόν· ῥήσιον· τόπος· ῥησίφθογγον· κἀκεῖ καὶ ῥῆσις·

ρ ῥητραῖος· ῥήτορας· καὶ ῥήτρη ἡ συνθήκη· ῥηγμίς· ἐκ τοῦ ῥηγνύω· καὶ ῥῆμα ἀπὸ τοῦ ῥηγνύω· ῥηϊδίως· ῥαδίως καὶ ἀκόλως·

22222 τὸ ρ μετὰ τοῦ ἰῶτα·

ρ ῥιψάσπις· ὁ δειλός· ἀπὸ τοῦ ῥίπτειν τὴν ἀσπίδα· ῥιψοκίνδυνος· παράβολος πολεμικός· ῥινός· ἡ βύρσα· ῥιγεδανός· φρικώδης· ῥικνός· διεσχισμένος· ῥιζαδινός· ῥέει τὸ ζῆν ἀπὸ τοῖς δένδροις· ῥιψ· ῥιπός· τὸ ῥιπίδιον· ῥινοτόμος· ὁ τὰ δὲ μαλακὰ τεμών·

ῥινόσιμος· τὴν κόλλησιν ἀμαθὸς· ῥικνοῖς· ἐφθαρμένοις·
ῥὶν· ἡ μυκτὴρ· καὶ κλίνεται ῥινός· ῥιπὴ· ὁρμὴ καὶ φορὰ καὶ κίνησις·
ῥιπὴ καὶ ῥιπαὶ· ὁρμή· ῥιπτάζω· δινῶ· ῥέπει τὸ ζημιάω τοῖς
δένδροις· ῥιμολαβὶς·
ῥίον· τὸ ἀκρωτήριον· ῥίς· φουσκόν· ῥινὸς· τὸ τεῖχος·
ῥῆνος δὲ τὸ καπτὸν ἱμάτιον, ἤγουν· ῥιζαιομόρος·
ῥίζην· ὄρος· ῥιγῶν· νόσος:·
ῥιπιδῶν· ἐφωνήθη· ῥιπτάζω· διαρρίπτω· ῥυζωρυχῶ·
ῥιζωρυκτοῦ δέ, καὶ ἱερόν·
ῥίμφα· ἐλεύθερος· ῥιψοκίνδυνος·

τοῦ ρ μετὰ τοῦ ο:

Ροῖ ποταμοῦ· καὶ ῥοῖ θαλάσσης, ἤγουν· ῥοὴ δὲ αἵματος·
ῥοὴ δακρύων, ἤγουν· ῥομφαία· ὁμοίως παρα
τάξεως· καὶ τὸ πολεμικὸν τῆς μηδ[illegible] σίδηρον·
ῥοδοδάκτυλος καὶ ῥοδόχροος καὶ μόρα· ῥοαὶ· τὰ ῥεύ
ματα· ῥοδωνιὰ· τόπος ἔνθα τὰ ῥόδα· ῥόδος·
νῆσος· παρὰ τὸ πολὺ ῥοῶδες τὸ θίδον φάναι· περὶ
φαρμάκων τὴν νῆσον· ῥόα· καὶ ῥοιαὶ καὶ ῥοιδέα· ῥοῖα·
ῥοδώμιος· κύριον· ῥόπτρον· ῥόπαλον καὶ παρὰ τὸ καὶ τιμω
ρία· ῥοδοῦνται· πυρρά·
ῥόπαλον· κάλλεκτον καὶ ῥάβδος· ῥόθιος· τὸ μετὰ ψόφου
κῦμα· ῥοιτεῖον· τόπος ἀκρωτηρίου· ῥύτιον δὲ
τόπος τῆς κρήτης, τεῖχον· ῥοιζῆμα· καὶ χῦμα
ὀχθῆ· ἢ χλίδης ὑλυζής· ῥοθῶ· ὁμοίως· ῥοιβδοῖσιν· ἤχησε,
ἔσυρεν· ῥοιζῶ· ῥοφῶ· ῥοιζηδὸν· σφοδρῶς μετὰ ἤχου:—

τοῦ ρ μετὰ τοῦ υ:

ὑακέω· ὑδρηχοῖ ῥάμματα· ῥυθμὸς· ἁρμονία ἀκολουθία·
παιδικοῖς· ῥυτὴρ· χαλινὸς λῶρος· ῥυηφενὸς· ὁ πλού
σιος· ῥύμμον· καὶ τὸ φύλλων ἑλίξις· ῥύμβαξ· τόπος·

ῥυπῶντος· ῥυπίδας ἔχοντος. ῥυτός· ὀρέων καὶ ἑλκυστός:-
ῥύμη· ὁρμή. ῥυτίδες· αἱ ἐπὶ τοῦ μετώπου τῶν γε-
γηρακότων ζαρώματα. ῥυτιδούμενος· αἱ ἀγκλήσεις
κινήσεις τῆς σαρκός· οἷον αἱ κοτυλώδεις καμπαί:-
ῥύμματα· καθάρματα. ῥύσια· ῥύσια· λύτρα
ἐλευθέρια ἐνέχυρα. ῥύτιον· τόπος ἐπὶ Κρήτης.
ῥυππαπαί· κέλευσμα ψόφου ναυτικοῦ ἀπὸ τῆς κώ-
πης ἀποτελούμενον.
ῥύεται· φυλάττει σκέπει ἐλευθεροῖ. ῥυήσομαι· φθαρή-
σομαι. ῥυθμίζεται· κανονίζεται. ῥινοτομεῖται· τὸν ῥό-
θον κόπτεται. ῥύπτομεν· σμήχομεν καθαροῦμεν.
ῥυήτω· φθαρήτω. ῥυστάζω· ἕλκω. ῥυκτῶ· ῥυκῶ· ῥάσσω:-
ῥύδην· σφοδρῶς φοβερῶς. ῥυππαπαί· ἐπίφωνημα
ναυτικόν:-

τοῦ ῥ μετὰ τοῦ ω.

ῥώξ· εἶδος σκορπίου καὶ ῥάξ. ῥωστός· ῥωμαλέος· ἰσχυρός·
ἀνδρεῖος. ῥώψ· ὁ θάμνος ἢ συνηρεφὴς τόπος. ῥωπ-
ίσματα· χρώματα ὅσα ζωγράφος καφᾶσι καὶ μυ-
ρεψοὶ χερσὶ μιγνύουσι. ῥωγαλέος· διεσχισμένος. ῥωγ-
μή· τὸ σχίσμα. ῥωπόρρηξ· ὁ τὸν κοῦσον ῥηγνύων.
ῥωγοί· ἔθνος. ῥωμαῖος· κύριον. ῥωποπώλης· ὁ μυρεψός.
ῥωστήρ· ὁ ἐνδυναμῶν. ῥώξ· ζῶον μικρόν. ῥάξ· στα-
φυλῆς ὁ κόκκος. ῥωχμός· τόπος κεχαραδρωμένος ὑ-
πὸ ὀμβρίων ὑδάτων. ῥώψ· βοτάνη ἁπαλή.
ῥώμη· πόλις καὶ ἰσχύς. ῥωξάνη· κύριον. ῥωμαλεότη-
τι· ἰσχυρότητι ἀνδρείᾳ. ῥῶσις· ὑγεία. ῥῶσσος· πόλις.
ῥῶπες· βοτάνη ἁπαλή. ῥωπήϊα· καὶ ῥωπάλεια·
οἱ θάμνοι.
ῥώννυσιν· ἐνδυναμοῖ. ῥωπολογῶ. ῥωποπορικά.

τὸν κούασσον ῥηγνυμένων· ῥῶ πρὸς γαρὸ κούασσος· ῥώπη
τῶν οὐφ[illegible] ἐρημία·

τὸ σ μετὰ τοῦ α

Σαβάδιος· ἐπώνυμον τοῦ Διονύσου· σαγάριος· ὄνομα
ποταμοῦ· σακεσφόροι· ὁπλοφόροι ἀσπιδηφόροι· σάλ(ος)·
ἢ τῶν κυμάτων κίνησις· σαρδώνιος γέλως· ὁ καὶ
ὑπὸ ὀλεθρίοις γινόμενος· ἤκουσε δὲ σαρδώνιος γέλως,
ἐκ τοιαύτης αἰτίας· Σαρδόνι φασὶ, κατ' αὐτὴν ἡ δηλητή-
ριος, ἥτις ἅπαν τὸ σῶμα τοῦ φαγόντος αὐτὴν, συνα-
ποβάλλει· ὡς καὶ τῶν χειλέων συσταλέντων, τοὺς
ὀδόντας γυμνοῦσθαι· καὶ γέλωτος φαντασίαν παρέ-
χειν τοῖς ὁρῶσιν· ἔνιοι δὲ, ἐφύκριον καλοῦσι τὸν
σαρδόνιον γέλωτα· διὰ τὸ ὑπερῆν καὶ οἱ ὀργῇ πνιγόμενοι
σχῆμα γέλωτος ποιοῦσι πρὸς αὐτῶν τὸν ἔχοντα τὴν
νόσον ταύτην· ἔστι δὲ καὶ λίθος σου[illegible] καλούμενος·
σάτυρος· χορευτὴς τοῦ Διονύσου· ἔστι δὲ καὶ ζῶον·
σακερ[illegible]· τὸ τοῦ δέρματος ἄκρον ἤτοι τὸ ὀπίσω·
σακέσπαλος· πολεμικός· σακέρδως· ὁ ἱερεὺς παρ-
ὰ σακαίοις· σάρκελος· κύριον· σάρδιξ· χρῶμα κόκ-
κινον· σατράπης· βασιλεὺς ἢ στρατηγὸς ἢ ἄρχων·
σαβελλιανοί· οἱ συναιροῦντες τὰς τρεῖς ὑποστάσεις·
τὸν πατέρα τὸν υἱὸν τὸ πνεῦμα, ἓν πρόσωπον λέγοντες·
ὅπερ ἐστὶ σύγχυσις· σαβά· αἰθιοπικὸν ἔθνος·
Σαγή· περιβόλαιον σκέπη· σαμβύκη· εἶδος ὀργάνου·
σαπρία· ἀφανισμός· σάρισσαι· εἶδος ὅπλου· σαγήνη·
τὸ δίκτυον· σαγὴ δὲ τὸ ὅπλον, ἰῶτα· σαθρός·
ἀσθενής· ἢ σαρκικὴ ἡδονή· σάϊς· πόλις· καὶ χλ(αμύς)·
σαέως· σάϊπος· ἢ ἀλιάστικη ἐλαία· σαῖμαι· ἢ μοῖρα·
σακερδῶ· ὁ αἴλουρος [illegible] κύριον· σάρδις· πόλις·

καὶ εὐθεῖα τῶν πληθυντικῶν, τὰς σάρδεις· σατράπης· ἀξιωματικός.
σάρκες· διὰ τὸ ἀποσύρεσθαι ἀπ' αὐτοῦ τὸ δέρμα. σάρ-
δεις· ὄνομα πόλεως. σάρξ· οὐσία ῥαφεῖσα ἐξ αἵματος
καὶ φλέγματος καὶ χυμοῦ καὶ χολῆς συνισταμένη
ἐξ ἀέρος καὶ γῆς καὶ πυρὸς καὶ ὕδατος· τουτέ-
στιν ἐκ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ· ὁ ἥ-
λιος, τὸ θερμὸν καὶ ζωτικόν· ὁ ἀήρ, τὸ ψυχρόν· ἡ
γῆ, τὸ ξηρόν· τὰ ὕδατα, τὸ ὑγρόν. σαργάνη· σχοι-
νίον· ἔστι δὲ καὶ εἶδος σπυρίδος. σάρξ· αἷμα πεπη-
γὸς ἐκ τῆς φύσεως· καὶ στοιχείων συνδρομή. σαβοῖ· ἐπί-
φθεγμα μυστικόν.
[Σ]αγάναρον· ἔθνος περσικόν. ἔνιοι δὲ τὸ μειράκιον λέγου-
σι. σάτον· μόδιος κούκουλος. σάτην
σαβέκ· χρυσολάχανον· παρ' Ἰουδαίοις δάσος. σακρ.
παρὰ Ῥωμαίοις [illegible] ἑορτή. σάκεα·
ἀσπίδες. σακέλλιον· τόπος καὶ σαπφώριον. σαρ-
δόνιον· πέλαγος. σαραπεῖον· ἱερόν.
[Σ]αμμαά· περιλάμπουσα. σαρφ· φίλος καλῆς κοσμεῖ.
σάζαι· φυλάξαι. σαρκάζειν· μετὰ πικρίας καὶ
θυμοῦ γελᾶν. σαφηνίζω· ἑρμηνεύω. σάττω· φορ-
τίζω. σαώσῃ· ἀντὶ τοῦ σώσῃ. σαλαΐζω· θρηνῶ.
σαφήσας· σαφηνίσας. σαρισοφοροῦσιν· ἀπὸ τῆς σα-
ρίσης.

22222 στοιχ. σ μετὰ τοῦ ε :-

[Σ]έας· σκώληκας. σείριος· ὁμοίως ἀστὴρ καὶ ὁ ἥλιος.
σείριος δὲ κύριον ὄνομα, ἤγουν· σέο· ἀντὶ τοῦ σοῦ
ποιητικῶς. σειρομάστης· ὁλόσηρος. καὶ εἶδος ἀκοντίου.
σελασφόρος· καὶ φρυκτωρία ἤτοι καὶ λαμπηδών.
σελαμός· ὑμάρεττος [illegible]. σεισμός· κίνησις γῆς ὑπὸ

πράγματος ἐν τοῖς ἀπολειφθέντος· καὶ βιαίως ῥυέντος
δι' αὐτὸ κάλοθεν ἧμαι περὶ τὰ κοῖλα· σεισμὸς δὲ ὁ βρασμὸς
ὁ ἦχος, ἴσωται· καὶ σειρῆναι ἐκ τοῦ σύρειν τὸν ἦχον, σφό·
τοὺς σκώληκας· καὶ ἐστὶν ἡ εὐθεῖα, ὁ σὴς τοῦ σεός·
σεμνός· παρὰ τὸ σέβω σεβνὸς ὁ σεβασμοῦ ἄξιος·
σειληνοί· οἱ τῶν σατύρων γέροντες· σεμμάτωρ· ὁ τῶν
ἱερῶν καὶ ὀμνύων σεμνῶν· καὶ κλίνεται σεμμάτορος· σέρρι-
φος· ὁ ἐπιδρώμενος καιρὸς· καὶ ὁ ἥλιος· σεραφίμ·
ἐπιλεγόμενον ἑνικοῦ δ[illegible]· ἐπὶ δὲ πληθυντικοῦ, ἴσωται
σεθέν· ἀντὶ τοῦ σοῦ· σέραιος· οἶνος· ὁ ἐκ γλεύκους
ἑψημένος ὁ γλυκύς.
Σειρά· ἡ ἅλυσις· σείριος· ἀστήρ· βοτάνη· σφοδρὰ χθα· τὸ βάρος·
σεληναῖος· ἡ λαμπηδών· σεμνῶ· πόλις· σελή-
νη· τὸ φέγγος· ἥτις μετὰ τῶν ἀστέρων ἐπιτάχθη
φωτὶ [illegible] αὐγάζουσα [illegible] ἡ καθαρὰ παρ-
τό τε [illegible] ὄντων· φασὶ γὰρ καὶ ὅτι ἡ καθαρὰ ἀστέ-
ρες εἰσὶν [illegible]· ἀλλ' ὁ ἥλιος τοῦ τοιοῦ-
ἅμα καὶ τὴν σελήνην τῇ σφοδρότητι αὐτοῦ ἀπο-
κρύπτων οὐκ ἐᾷ φαίνεσθαι· τοῖς φωστῆρσι μόνων
τούτοις, τὸ πρῶτον τὸ κτισθὲν φῶς ὅ δὴ λειτουργὸς
ἐναπέθετο· οὐ χωρὶς ἀπορρῶν ἄλλου φωτός· ἀλλ' ἵνα
καὶ ἀργὸν ἐκ τῆς μονάδος μὴ τὸ φῶς· σελίς· πτυχίον· ἢ
καταλκαιατὸν βιβλίου· σεῖς· πόλις.
Σέλας· λαμπηδών· σεπτόν· ἔντιμον· [illegible]· σεμί-
δαλι καὶ βάλη· γλυκύτατα· σέφρον· παίγνιον· σελα-
[illegible]· ἐστὶ δὲ φωνὴ ἑβραϊκή· σεκάγδον·
κομασφήριον· σεκίερα μεγάλα τάχη· διεφθορότι [illegible]
σηρίον· καυστικόν.
Σεισμὸς ὁ ἄνεμος· [illegible] ἀφερῶν· σεσηρότα·

κεχυμένοι χαιρόμενοι γελῶντες· θρασεῖα ζῆν· ἀσ
βάμ· σαβάθ· δίωκε· σπεραίνου· τὸ ξηραίνω· σπ
έρμου· ἄλυσιν ἕλκω·

τοῦ ε̅ μετὰ τοῦ η̅

Ε ηκος· ὄνομα· καὶ ἡ τῶν προβάτων ὁ παῦλος·
σηρβ· σκώληκος· ἡ ἀλήθεια ὃς σηρ καὶ καλεῖται
σηρος· ὄζου καὶ σηρικὰ· ἱμάτια τὰ μεγάλα ζῶντα·
σηρασὸ· κοιλάδος· τόποι ἢ τὰ χάσματα τῆς γῆς·
σης· ὁ σκώληξ· καὶ καλεῖται οὗτος· σηων· ὁ βασι
λεὺς τῶν ἀμορραίων· ὃς ἦν πλούσιος καὶ στρατοπέ
δων περιβόητος· σηλώμ· κύριον καὶ ὄρος· ση
πτος· σκώληκος· σηράθ· ὁ λάκκος· σηταμφος·
ὁ καθαρὸς ἄρτος· σηκολόρος· ὁ τοῦ μαοὺ ἐπι
κελομένος·

Ε ἡμασία· δῆλος ὅτι φανέρωσις· σημαι· τὸ φύλ
λου· σηκύα· τὸ σηκιαστήριον· σηφὸς· ὁμο
λαὸς πόλεως· σητήμη· τὸ ὄρος· σητὴ καὶ σηταία
κυ· σηφη· πόλις·

Ε ηγωρ· ὄρος καὶ πόλις· σημαι· τὸ σημεῖον καὶ ὁ στα
σημεῖον· σημαιολαῖον τὴν ἀναφορὰν ἢ καὶ μποι
οῦν πρὸς ἐκεῖνο οὗ ἐστι τὸ σημεῖον· ὥστε, κομιορτ
ἐφαὶμ· οἱ πολέμιοι ἐρχόμενοι· σημεῖον· τὸ οὐκ ἔξω
τῆς φύσεως ὄν· οἷον τὸ ἰᾶσθαι ἄρρωστον καὶ
τὰ τοιαῦτα· σησάκιον· σηρίμιου· τοῦ κιβωτί
ου· σηγιφρον· τὸ τῶν μαλόγων σκέπασμα· σημαμβα·
αἱ σφραγῖδες·

Ε ἤθου· τὸ κοσκινίζω· σημαίνω· πρὸ τάσσου ἐκμύω·
σηκαθεν· ὡς φὸς σηλεον κατεκλάσθησαν·

τοῦ ε̅ καὶ τοῦ θ̅ Ε θνμαθ· ἰσχυρός·

Σιτισμός· καὶ διατροφή. Ἐπισιτισμὸς δὲ, ἰῶτα· σιφλός·
ὁ τυφλὸς καὶ ὁ ἀσθενής· σιχθοί· οἱ σαθροί· σιλφός·
ὁ ἐπίψογος· σιμός· ὁ σπαστός· σίπαλος· ὁ δύσμορφος·
σιρός· ὁ λάκκος καὶ καθύπατον ὄρυγμα· σιγηλός·
ὁ σιωπηλός· σίελος· πτύσμα· σίμμον· ὕπαλεον καὶ
σιλωάμ· σιβύλλιος λόγος· ὁ στίχος· σικύλλης· σι-
γαλόεις· λαμπρός· σικιμμίς· κῦ καὶ ἄδδος ὄρχησις·
σικαόεις· ποταμός· σικαμοί· ἔθνος· σίδηρος· ὁ στιλβός·
σιδηροκέφαλος· σίλλος· ὁ μωρός· σίλουρος· ἰχθῦς·
σίλαφος· τόπος·
Σισύρα καὶ σισύρνα· σκεπάσματα· αἰγεῖαι· σισαρίς· ὄρμε·
σιτώνη· καὶ ἱερὰ ἀποθήκη· σίδη· ὁ τῆς ῥοιᾶς φλοιός·
σίλφη· ὁ σκώληξ· σιπύη· τὸ καρισλεῖον· καὶ ἡ ἀρτο-
θήκη· σιταρκησεῖς
Σιμικίνθιον· καὶ τὸ μελίστηθικη· σιμικίνθιον·
τὸ παρὰ τοῖς πόδας σανδάλιον· τινὲς δὲ τὸ φα-
κιόλιον λέγουσι· κυρίως δὲ τὸ ῥινόμακτρον καὶ
τοιοῦτο μανδήλιον· σιτία· τὰ βρώματα·
σικίμα· πόλις ἐστὶν καὶ τοῦ ἰωσὴφ ὑπὸ τοῦ ἰακὼβ
καταληφθεῖσα· σίστρον· ἀλεξητήριον· σίγμα·
τὸ στοιχεῖον· σίκυα· τὰ τετράγουρα· σίλφιον· βο-
τάνη· χρωματήριος· σίμιλα· τὰ ἄλφιτα τῶν κα-
λίστων· παρὰ τὸ σίμιλα ἢ ἄλλα ἐπάλλω·
Σιμιάσαι· σηράσαι κοσκινίσαι· σικιλλαίνω· ἐκθυ-
μᾶσαι· σίζω· καὶ ἤχω· σίνω· καλάπτω· σιμαίνω· τοῖς
ἵπποις κολακεύω· σιλλογραφῆσαι· καὶ κακολογῆσαι·
σιελ· ἀπὸ τοῦ σκοτοδινιῶ· οὕτως λέγουσι μοῖσου
ρακούσιοι· σιλαίνω· τὸ καθαίρω

τὸ σ μετὰ τοῦ κ

Σκελετός· κατάξηρος. σκρινιάριος· ὑπογραφεύς.
σκοπός· ὁ προορῶν· ἢ ὁ προπορευόμενος τοῦ στρατοῦ·
ᾧ στοιχοῦσι πάντες ἀκολουθοῦσιν· ἢ καὶ τὸ σημεῖον.
σκυθρωπός· στυγνός. σκαιός· πονηρὸς καὶ κακὸς φαῦ-
λος. σκηπτός· κεραυνός. σκίπων· καλαμάτιον.
σκόπελος· τόπος ὑψηλὸς ἢ πέτρα ὑψηλή. σκόλοψ·
ξύλον ὀξὺ καὶ αἱ τῶν φοινίκων ἀκμαί. σκύμνος·
ὁ τοῦ λέοντος σκύλαξ. σκιρρῖται· οἱ [illegible]
ται. σκίρρος· γὰρ ὁ γύψος. σκνῖπες· ζωάφια σμικρότα-
τα ὅμως ἀργαλεώτατα· οὐ γὰρ μόνον κνησμοὺς
ἐμποιοῦσιν ἀνθρώποις, ἀλλὰ καὶ στόματι ἐν τῷ βιάζεσθαι
διὰ μυκτήρων καὶ ὤτων· σίγα δὲ καὶ κόρας ὀ-
φθαλμῶν ἀμελεῖ φυλάξαι τόπτις. σκαπανήτης·
ὁ σκαφεύς. σκηπτοῦχος· ὁ τοῦ βασιλέως σκηπτρο-
φόρος· ἢ ὁ βασιλεύς. σκίφερον· ὁ λ[illegible]

Σκαιαί· ἀριστεραί. σκηνή· ἢ κατοικία καὶ ἡ ὑπὸ δερρίου.
σκαπάνη· ἡ δίκελλα. σκαιωρία· κατασκαφή. σκή-
ψις· πρόφασις. σκληραγωγία· ἄσκησις. σκοπιά·
τόπος ὑψηλός. σκοτομήνη· ἢ ἀσέληνος νύξ. σκλα-
βηνία· ἢ βουλγαρία. σκυτάλη· θυλάκη. σκαμμω-
νία· βοτάνη. σκυταλίδες· οἱ κόνδυλοι τῶν δακτύ-
λων. σκυδμός· ἢ λοιδορία. σκαρδεῖα· πόλις. σκι-
ρωνίς· πέτρα. σκυτάλη· ἐργαλεῖον καὶ ἡ ἀβίνα.

Σκαμβόν· στρεβλόν. σκῆπτρον· ῥάβδος βασιλική.
σκηνώματα· οἱ κοιτῶνες ἢ καὶ τὰ σώματα.
σκῆνος· οἰκητήριον ἢ σῶμα. σκῶλον· ἐμπόδι-
ον σκάνδαλον. σκώμματα· λοιδορία γέλωτος χάριν.
σκαληνόν· γεωμετρικὸν σχῆμα. σκανδάληθρα·

τὰ ἐν ταῖς πηγαῖς ὄντα· ἔστι καὶ ἐπὶ ξυλαρίου· σκότος·
οὐκ οὐσία τίς ἐστιν ἀλλὰ συμβεβηκός· φωτὸς
γάρ ἐστι στέρησις· σκῦλα· τὰ τῶν νεκρῶν λάφυρα·
σκέπασμα· ἢ σκέψις· σκηνορραφεῖον· δερματο-
ρραφεῖον· σκηνοπήγιον· ἢ ῥάβδος· σκόλυμον·
βοτάνη· σκηνώματα· οἶκοι· σκῶρ· τὸ κόπρανον·
τοῦ μὲν καθ' ἡμᾶς σοφιστοῦ ὁ ἐνδοξότατος ἐν τῇ μιᾷ τῶν
γλωσσῶν αὐτοῦ γέγραφε τὸ σκατός· ἀγνοήσας ὅτι ἡ
ὀρθὴ ἐστὶν ὡς ἔφη, τὸ σκῶρ· αἱ δὲ πλάγιαι τοῦ σκατὸς
καὶ τῷ σκατί· Ἀριστοφάνης· καὶ σκῶρ ἀγμῶν· ὁ μὲν
τῶν σοφῶν σκατοφάγου τὸ ἁμάρτημα·
G καίρονται· σκηρτῶσι· ἀναπηδῶσι· σκηριπτό-
μενος· στηριζόμενος· σκιρρωθὲν· σκληρωθέν· σκιαγρα-
φούμενον· τὸ ἀμυδρῶς καὶ ὀλίγοις καταλαμβα-
νόμενον· σκαλάθειν· χαλάζειν· σκαρδαμύττειν· πυκνῶς
τοὺς ὀφθαλμοὺς ἀνοίγειν καὶ κλείειν καμμύειν· σκεδά-
σας· σκορπίσας· σκίδναται· διασκορπίζεται· σκο-
τοδινιάσας· ἰλιγγιάσας· σκυλάσας· περιμολύνας·
σκορδινᾶσθαι· ὀκνεῖσθαι χασμᾶσθαι· σκυδμαίνω·
ὀργίζομαι· σκήπτεσθαι· προφασίζεται· σκυβα-
λίζεται· ἐξουθενεῖται εὐτελίζεται· σκυζομένην·
λυπουμένην ὀργιζομένην· σκιμαλίσαι· κυρί-
ως τὸ μέσον τὸν δάκτυλον ἢ τὸν πρωκτὸν τοῦ
ὀρνέου ἐκμαλάσσειν· σκελετίζεται· κατάξηρος γίνεται·
σκανδαλίσαι· ἀντὶ τοῦ ὑβρίσαι· ὡς καὶ ἐν τῷ δα·
ὅσοι δ' ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων·

τὸ σ μετὰ τοῦ μ

G σμῶδιξ· ὕφαιμος πληγὴ ἢ μώλωψ· σμερδαλέος·
καταπληκτικός· μέρδις· κυ· καὶ σμέρδιος καὶ

σμερδίνης· σμίνδαρος καὶ σκίνδαρις. ὅμοι
Σμίλαι· καὶ δίκελλαι. σμερδνή· καταπληκτική. σμι
νύη· γεωργικὸν ἐργαλεῖον. σμώμη· καὶ τοῦ ἀμέλγ
πληγή. σμίλος· νῆσος. σμύρνα· πόλις. σμίλαξ·
βοτάνη. σμύραινα· ἰχθύς.
Σμῆνος· τὸ τῶν μελισσῶν πλῆθος. καὶ σμηνουρ
γόν. σμῆγμα· τὸ καθάρισμα. σμῆνος· καὶ τὸ μελι
σσόβοτον· καὶ τὸ πλῆγμα. ἀπὸ τοῦ σμῶ τοῦ σμήχω
τὸ πλήσσω.
Σμυχόλεθρον· καιόλεθρον. σμυχόλεθρον δὲ τὸ καθαι
ρόλεθρον ἤτοι. σμαραγῆ· ἠχῆ. σμῶ· τὸ καθαίρω.
σμήχω· καθαίρω. σμύχω· τὸ καίω. σμιλάω· τὸ
μνω. σμαράγδων· τίμιος ἐπὶ τοῦ λάμπειν τιθέασι.
Σμάραγδος· ὁ λαμπρὸς λίθος· τίμιος δὲ παρὰ τὸ μαρ
ροῦ τὸ λάμπειν, σμάραγδος καὶ μάραγδος.
Σμερδαλέος· καταπληκτικῶς φοβερῶς. σμύρνη
ἀπὸ σμύρνης.

τὸ σ μετὰ τοῦ ο.

Σοαρός· αὐθάδης. Σοφονίας· κύριον. σολοικισμὸς ὁ τοῦ
σόλου γλουοικισμός. διαφέρει δὲ ὁ βαρβαρισμὸς τοῦ
σολοικισμοῦ· ὅτι ὁ μὲν βαρβαρισμός, ἐν λέξει γίνεται·
ὁ δὲ σολοικισμός, ἐν λόγῳ· τὸ γὰρ περὶ μίαν λέξιν, ἁμαρ
τάνειν, βαρβαρισμός ἐστι· τὸ δὲ περὶ πλείονας, σο
λοικισμός. σουβὶ· τόπος. σόακις· κύριον. σόεμος, ψι.
Σόβας· καὶ πόρνη. σόβηρα· πόλις. σολία· χώρα.
σολφάδε ἡ τοῦ οἴκου· σωσπατίτης· θεὰ καὶ ἔφορ
τῆς μαγείας.
Σολωρ· μεβρονγῆς. σολοίκια· τὰ ἐνδύματα. σουφῶδες·
βουμον δὲ τὸ καῖμον. σουδάριον· λέντιον τὸ σκέπασμα

ἐκ λίνου καὶ ὑφασμένων· σοῦσον· τὸ κρίνον κατὰ Φρύγας·
σουσίαν δὲ τὸν ἵππον λέγουσιν οἱ Σύροι
Σοφίζεσθαι· καταγελᾶσθαι· σοφιστὰς καλοῦσιν· καὶ τοὺς
ῥήτορας ἐκ πορισμοῦ ἐπιθυμοῦσιν ἔχειν οἱ σοφισταὶ
διδάσκαλοι· ἀφυεῖς μαθηταὶ καὶ πολλοί· σολοι-
κίζειν· οὐ μόνον τὸ κατὰ λόγον καὶ φωνὴν χωρικεύε-
σθαι, ἀλλὰ καὶ ὁ περὶ ἔνδυμα· ὅταν τις χωρικῶς
ἐνδιδύσκηται καὶ ἀτάκτως ἐσθίῃ καὶ ἀκόσμως περι-
πατῇ, ὥς φησι Ζήνων·

τοῦ σ̄ μετὰ τοῦ π̄ :

Σπερμολόγος ὁ τὰ σπέρματα συλλέγων· σπινθήρ·
λαμπηδόνες· σπίλος· ῥύπος μολυσμός· σπάδων·
ὁ εὐνοῦχος· σπέρχος· ὄνομα ποταμοῦ· σπαδω-
νισμός· ὁ εὐνουχισμός· σπεκουλάτωρ· ὁ δήμιος·
σπυρίδων μάκης· κύριον· σπόκιλλος· κύριον· σπερκτάς· κύριον·
Σπονδαί· συνθῆκαι ὅρκια· καὶ θυσίαι καὶ ἐκχύσεις
οἴνου· σπουδαῖ· καὶ σπάκτη· καὶ σπουδαῖος· ὁμοίως· σπεῖ-
ραι· καὶ σύναξις καὶ ποιητῶν στρατευμάτων τὸ πλῆθος·
σπῆλυγξ· τὰ βεβρωμένα τῶν πετρῶν παρὰ τὸ
σπᾶν· σπέρχεσθαι καὶ σπουδή·
Σπάρον· τὸ ἱμάτιον· σπέκλον· οὐ ἑλλ(ηνικόν)· σπέος· τὸ σπή-
λαιον· καὶ σπάθος· καὶ σπῆι· ἤτοι σπηλαίῳ· καὶ σπέ-
ος τὸ σπήλαιον· σπολήτιον· τόπος· σπάργημα· τὸ
τοῦ ὄφεως ἔλυμα·
Σπαράζεται· λέγεται ὑπὸ σπαραγμοῦ· σπασάμενος· ἑλκύσας·
σπαθᾶν· τὸ σπαταλᾶν· καὶ παρὰ τοῖς ῥήτορσιν σπα-
θᾶν, τὸ ἀφειδῶς ἀναλίσκειν· σπεῖρα λέγεται σπουδαῖα κα-
τεπείγεσθαι· σπειρόμενος σῖτος, μικρόν· σπάραγ-
δε ὁ φίλος καὶ ποιητὴν τυχία ὁμενος, ἔκσπα· σπώμενον·

συντριβόμενος· σπένδεται· φιλιοῦται. θύει. σπένδομεν·
προσφέροντες τοῖς πιστοῖς καὶ σπουδαίοις. ἔστι δὲ καὶ τὸ
φιλιοῦσθαι. σπονδὰς γὰρ ἐκάλουν τὰς ἐπὶ τῶν πολε-
μίων συγκειμένας ὅρκους. σπένδομαι· φιλιοῦμαι. σπένδω·
θύω. σπερμαίνω· γεννῶ. σπαίρω· ψυχορραγῶ.
Σπερχθεὶς· πολὺ ἐπειγόμενος. σπυράδην· ἐσκορπισμένως
ὧδε κἀκεῖσε. (σπερ)

τὸ σ̄ μετὰ τοῦ τ̄ :—

Σταθμοί· παρασάγγαι. στενωπός· ἡ στενὴ ὁδὸς καὶ ῥύμη. στέ- (στ)
λεχος· κορμὸς δένδρου. στλεγγίς· τὸ ἀξιμοκεράτινον.
στίχος· ἡ τάξις. στόλος· πλοίων ἄθροισμα. στῦλος δὲ
ὁ μοχλὸς πόλεως, κίων. στρυφνὸς· ὁ οἶνος καὶ ποιὸς στυφὸς
καὶ κοσταμή. στωμύλος· ὁ κομψὸς ὁ πιθανολόγος. καὶ ὁ μετὰ
γέλωτος ἐμπαίζων τινὰ καὶ διασύρων. στυγητός·
μισητός. σταίτινος ἄρτος· ὁ ἐξ ἀλεύρου. καὶ σταιτίνος·
καὶ σταιτ[illegible] σκάληξ· ὁ σκώληξ. σκάλιξ δὲ
ὁ σκόλοψ, ἰωνικῶς. σταμῖνες· ὀρθὰ ξύλα. σταυρώριος·
ὁ σκολιός. στόμφος λόγος· φορμητικός. στ[ι]κτέος·
καρτερικός. στίχος· ἡ ἐπὶ στίχου τάξις. στρατονίκ-
κυς. στρυμὼν στρυμόνος· ὄνομα τόπου. σταθμός·
κατὰ Ἡρόδοτον καὶ Ξενοφῶντα, μίλια κῆς.
στιγματίας· ὁ οἰκέτης ὡς στιζόμενος καὶ μαστιζόμενος
οἷα ἀχρήσιμος.
Στρατιαί· τὸ πλῆθος καὶ πόλεις. [illegible] θέλουσι ταῦτα. (στρ)
στροφάλιγξ· ἡ συστροφή. στρόβηλος· ὄνομα νήσου.
στρόμβιλος δὲ ὁ ἄνεμος, ἰωνικῶς. στρίφη· ὅρμος. στερ-
οπὴ καὶ ἀστραπή. στοιβάς· ἡ στρωμνὴ ἡ τρι-
φὴς θρύψις. στοργή· φιλία. στιβή· βοτάνη. στρε-
λίας· ὁ [illegible] καὶ διεστραμμένας [illegible] στε

φόρος πέπλος· καὶ μικρὸν πέπλον ἤτοι ἱμάτιον ἔχουσα·
στιλπνότης· ἡ λαμπρότης· στιλβηδών· ἡ λαμπη-
δὼν ἡ λαμπρότης· στελέχιον· τὸ κοντάριον· στοιχάδος·
καὶ ὑπὲρ τὸ μαθήσεως καὶ διάταξις· καὶ ὁδηγία καὶ δια-
τυπώσεως· στιγμή· διανοίας ἀπηρτισμένης ση-
μεῖον· γίνεται δὲ στιγμὴ, παρὰ τὸ στίζω, στίξω· στιγμή·
ἴσχουσα γὰρ τὴν φωνήν· ἀπηρτισμένης δὲ ἤτοι
πεπληρωμένης· στιγμαὶ δὲ εἰσὶ τρεῖς· τελεία·
μέση· ὑποστιγμή· καὶ τελεία μέν ἐστι, διανοίας ἀπηρ-
τισμένης σημεῖον· μέση ἡ μέση, σημεῖον πνεύμα-
τος ἕνεκεν παραλαμβανομένη· ὑποστιγμὴ δὲ,
διανοίας μηδέπω ἀπηρτισμένης· ἀλλ᾽ ἔτι ἐνδε-
ούσης σημεῖον· διαφέρει δὲ στιγμὴ ὑποστιγμῆς, χρό-
νῳ· ἐν μὲν γὰρ τῇ στιγμῇ, πολὺ τὸ διάστημα· ἐν
τῇ ὑποστιγμῇ, παντελῶς ὀλίγον· στιγμαὶ δὲ κατὰ
Νικάνορα, ὀκτώ· τελεία· ... ὑποτελεία· ἀτελής·
ἄνω πρώτη· ἄνω δευτέρα· ἀνυπόκριτος· ἐνυ-
πόκριτος· ὑποδιαστολή· διαφέρει δὲ στιγμὴ τῆς
ὑποδιαστολῆς· ὅτι ἡ μὲν στιγμή, μόνην τὴν φωνὴν
διΐστησιν· ἡ δὲ διαστολή, ἅμα τῇ φωνῇ καὶ τὴν δια-
νοιαν· στακτή· τὸ λεπτὸν στακτὸν τῆς σμύρνης· στυ-
λίτην ἐν τοῖς ... κατὰ Ἕλληνας· καὶ λεκτ. φυτός·
στροφίγξ· τὸ τῆς θύρας στροφίγγιον· στῖβος· καὶ ὁδός·
σταχάνη· ἡ τρυτάνη δωρικῶς·
στάδιον· ὁ ὀρθὸς δρόμος· παρὰ τὴν στάσιν· ἑστῶτες γὰρ
ἔθεον· οἱ δὲ πορίστιον τὸ σ· λέγουσι γὰρ ... στάδι-
ον παρὰ τὴν ἐν τῷ δρόμῳ στάσιν· οὕτως ὧρος
ὁ Μιλήσιος· στέμμα· τὸ περὶ τῇ κεφαλῇ ... ἐρίον ...
θαλλοῦ· στέμφυλον· τὸ τῆς ἐλαίας ὀστοῦν· στροφεῖον· τὸ

τὸ γυναικὸς ἔμπροσθεν· στέαρ· πῦρ· ἢ στ[illegible]· στίφος·
πλῆθος· στέφος· ὁ στέφανος· στίγματα· πληγαί· στρο-
φεῖ· τόπος· στιλπνόν· λαμπρόν· στραγγαλιῶδες· διε-
στραμμένον· στεγανώτερον· στερρότερον· στέαρ·
τὸ ἐπιπηγνύμενον λίπος· στέρνα· τὰ στήθη· στε-
ριπόν· τὸ βάσιμον· στημόνιον· τὸ τοῦ ὑφασμίου· στη-
θύνιον· τὸ στῆθος· στίγμαι· εἶδος κόμματος· στερέ-
μνιον· ἰσχυρὸν δυνατόν· στοιχεῖα· Ἀθηναῖοι μὲν
τὰ γράμματα φασί· γραμματικοὶ δέ, πῦρ· ὕδωρ·
ἀέρα· γαῖαν· ἐξ ὧν τὰ σώματα συνίστανται καὶ
εἰς ἃ ἀναλύεται· ἰστέον ὅτι τὰ στοιχεῖα, τριχῶς ἑρ-
μηνεύονται· πόρρω· προσεχῆ, καὶ προσεχέστα-
τα· καὶ πόρρω μέν, ὡς τὸ πῦρ· ἡ γῆ· τὸ ὕδωρ,
καὶ ὁ ἀήρ· προσεχῆ δέ, τὸ θερμὸν ψυχρὸν· ξηρόν,
καὶ ὑγρόν· προσεχέστατα δέ, αἷμα· φλέγμα·
ξανθὴ χολή, καὶ μέλαινα· καὶ προσεχῆ μὲν
μόρια τοῦ ἀνθρώπου στοιχεῖα· ἤγουν πλησιάζοντα
μὲν αὐτῷ μὴ παντελῶς δὲ οἰκεῖα μὲν, τὰ
τέσσαρα ταῦτα· τὸ αἷμα· τὸ φλέγμα· ἡ ξανθὴ
χολή, καὶ ἡ μέλαινα· αἵτινα καὶ διὰ τὴν ἄκραν
αὐτῶν οἰκείωσιν, προσεχέστατα ὀνομάζονται·
στοιχεῖον· ἡ πρώτη τῆς ἀναλύσεως τοῦ ἀνθρώπου φωνή· ἢ
φωνῆς ἑλληνικῆς εἶδος φθόγγος ἐλάχιστος· διὰ τὸ [illegible]
ἀναλύσεως· διὸ τοῦ καθ' ἑαυτὸ ζητεῖν ὡς ἡ συλλαβή· παρέ-
πεται δὲ τῷ στοιχείῳ τέσσαρα· ὄνομα· σχῆμα·
χαρακτήρ, καὶ δύναμις· στέρφος· δέρμα καὶ ἡ βύρ-
σα· στοιχεῖον· οὐσία ἁπλῆ κτίσεως τῆς παρ' τῇ
μοίρᾳ· καὶ ὁ Παῦλος· οὐκέτι γινώσκομεν χριστὸν
κατὰ σῶμα· τοῦτ' ἔστιν οὐκέτι γινώσκουσι σάρκα·

Στέχω· τὸ ἐν ταὐτῷ στρατοπεδεύομαι· στρεβλοῦνται· συστρέφονται·
στηλιτεύσας· παραδειγματίσας· στίζεσθαι· μαστίζεσθαι·
στοιχίζω· κυκλῶ· στορέσας· ὑποστρώσας καταλεή-
νας καταπραΰνας· στυφελίξαι· διασεῖσαι ταράξαι σπ-
αράξαι· στέμμα· στέφος· στιφρῶδες ἰσχυρόν· στρηνι-
οῦντες· ἀτακτοῦντες· στρεβλούμενος· συστρεφόμενος·
στρεφόμενος δέ, ταλαιπωρούμενος· στέγει· ὑπομένει·
στωμυλεσχία· λεπτολογία· στέρεσθαι καὶ στερίσκειν, τὸ ἀπο-
στερεῖν· στωμυλίζω· λεπτύνω· στοιβάζω· σωρεύω· στρεβλὰς
διαμαλλοὺς καθῆς σποράδας· στρατολογῶ· τὸ στρατεύω·
σταθεύειν· τὸ μὴ λίαν ὀπτῆσαι ἀλλὰ περιχλιᾶναι· στρέ-
ψασα· κλέψασα· πολλοῖς δὲ ἡ φυλάκισις καὶ στρέ-
ψασα ἔλαβον· στεῖλαι καὶ συστεῖλαι· στέλλε δὲ στρεφεσ-
μηθεν· συνεστράφησαν· στιχηδὸν· κατὰ τάξιν :–

τὸ σ μετὰ τοῦ υ :–

Συβώτης· ὁ χοιροβοσκός· συνασπισμός· συναφθῆναι·
συρφετός· ἀχυρώδης φρυγανώδης· συφεός· ὁ τῶν χοί-
ρων μάνδρα· σύγκλυδες· σύντομον· σύγκελλος· ἀξί-
ωμα· συνημίας· ὁ αἰσχρός· σύμμαχος· ὁ συμμαχῶν·
σύναιμος· ὁ ἀδελφός· συνίστωρ· ὁ ἐπιστήμων·
συσσιτισμός· τὸ συνεστιᾶσθαι· τὸ ἄριστον·
συμφυλετῶν· συγγενῶν ὁμοεθνῶν· συνασπισμός·
βοήθεια· συνέριθος· βοηθός· σύνδεσμος· λέξις
συνδέουσα διάνοιαν μετὰ τάξεως καὶ τὸ τῆς ἑρμη-
νείας κεχηνὸς δηλοῦσα· κεχηνὸς δέ ἐστι, τὸ διακεχω-
ρισμένον· εὑρέθη δὲ ὁ σύνδεσμος, πάντων τῶν τοῦ
λόγου μερῶν ἔσχατος· διὰ τὸ εἶναι αὐτὸν συνδετικὸν
πάντων τῶν τοῦ λόγου μερῶν· παρέπεται δὲ τῷ συν-
δέσμῳ, τρία· εἶδος· σχῆμα· καὶ τόνος· ὁ σύνδεσμος συν-
δέσμου, διαφέρει.

ὅτι ὁ μὲν σύνδεσμος, ἕνα τὸν χαρακτηρίζει· ὁ δὲ σύνδεσμοι, ἐς
πολλά· καὶ κατὰ πόσους δὲ τρόπους διαφέρει; ὅ, ἤτοι σύν-
δεσμος τοῦ μὲν, συνδέσμου· κατὰ δύο· ὅτι ὁ μὲν ἤτοι,
μὲν ὅσος παράκειται· ὁ δὲ μὲν, κατὰ ἄρσιν ἐστὶ θέσει· καὶ ὅ-
τι ὁ μὲν ἤτοι, ποιητικός ἐστιν· ὁ δὲ μὲν, συνήθεια·
ὁ ἀλλὰ δὲ σύνδεσμος, ἀντὶ τοῦ καὶ παραλαμβάνεται·
οἷον· καὶ μάλα μὲν ἐστιν, ἀλλὰ ταμεῖν ἔφη οὐχ ὁρῶ· ἐστὶ δὲ
καὶ σύνδεσμοι παραπληρωματικοὶ ἐκ τοῦ πλεονα-
σμὸν ἔχειν τὴν ὀνομασίαν· πολλοὶ γὰρ αὐτῶν κατὰ
πλεονασμὸν ἀναπληροῦσι τὴν φράσιν· οἱ δὲ ἐναν-
τιωματικοὶ σύνδεσμοι, δηλοῦσι τὸ ἐναντίον τῆς
δυνάμεως τοῦ πράγματος· οἷον ἀσθενὴς μὲν ἐγώ· σὺ
δὲ ἰσχυρός· καὶ ὅμως ἀσθενὴς ὢν, σὲ τὸν ἰσχυρὸν ἔ-
τυψα· συγγραφεύς· ὁ τὰ ἐφ' ἑαυτοῦ γενόμενα συγ-
γράφων μόνος· συνταγματήριοι· οἱ ἐν μεσόδοις τῶν πολέ-
μων ἐπὶ τῶν ἀρχόντων ἀποχαιρετισμοί·
Συκομοραία· συκῆ· τὰ συκῶν ποιὸς κλάδοις ἔχουσα καὶ
τὰς ῥίζας· σύγκρασις· ποτὲ μὲν τὴν ἕνωσιν
ποτὲ δὲ τὴν σύγχυσιν δηλοῖ· συγκοπή· ἡ ἐκ τῆς μέ-
σης ἄρσις· οἷον κατέκταμεν ἔκταμεν· συζυγία· συνέ-
λευσις καὶ συμφωνία δύο συλλαβῶν, ἤτοι μίαν συλλα-
βήν· ἡ ἀκόλουθος ῥημάτων κλίσις· συγκριτικός·
ἡ τῶν πρωτοτύπων παραύξησις· τύποι δὲ τῶν
συγκριτικῶν, τρεῖς· ὁ εἰς τερος· οἷον ὀξύτερος· βραδύ-
τερος· καὶ ὁ εἰς ων καθαρόν· οἷον καλλίων βελτίων· καὶ
ὁ εἰς σων· οἷον κρείσσων ἥσσων· συλλαβή· συμπλοκή
στοιχείων κατάλληλος· ὑφ' ἕνα τόνον καὶ ἓν πνεῦμα
ἀδιασπάστως ἀγομένη· ἢ φωνὴ ἄσημος συγκειμένη ἀπὸ
φωνήεντος σὺν ἀφώνου· ἢ ἀφώνου καὶ φωνήεντος.

